www.tezaurliturgic.ro

τοὺς πέριξ τόπους καὶ χώρας, ἐν οἷς ὡς δένδρον καλὸν
τοὺς τῆς ἀρετῆς καρποὺς ἐξήνεγκας,
βαρβάρων ἁλώσεως
καὶ παντοίας κακώσεως,
λιμοῦ λοιμοῦ τε
καὶ σεισμοῦ διατήρησον·
καὶ γὰρ δύνασαι
ἐν Θεῷ τῷ δοξάζοντι
πάντας τοὺς μεγαλύναντας
αὐτὸν θείαις πράξεσι,
Παρασκευὴ πανολβία,
τῆς παρθενίας τὸ ἄγαλμα,
Χριστὸν δυσωποῦσα
τοῦ δωρήσασθαι εἰρήνην
ἡμῖν καὶ ἔλεος.

*

* *

ΚΑΝΟΝΕΣ ΚΑΙ ΑΚΟΛΟΥΘΙΕΣ

VII. Κανὼν εἰς τὸν ἁγιώτατον καὶ σοφώτατον πατριάρχην Εὐθύμιον, οὗ ἡ ἀκροστιχίς· τῷ πατριάρχῃ δουλικῶς προσφθέγγομαι Εὐθυμίῳ ἀμήν. Ἐν τοῖς θεοτοκίοις: Μανουήλ.

F. 334 Ὠδὴ πρώτη. <Ἁρματηλάτην Φαραὼ ἐβύθισε>

Τῶν ἐγκωμίων ἡ μεγίστη θάλασσα
τῶν προσηκόντων τῷ σῷ
περιφανεῖ βίῳ, πάτερ ἱερώτατε,
κορυφουμένη πάντοθεν,
ἀπωθεῖται τὸ σκάφος
τῆς εὐτελοῦς διανοίας μου
ὅμως ταῖς εὐχαῖς σου τολμήσω θαρρῶν.

Ὥσπερ ἀστὴρ ἑωθινὸς ἀνέτειλας
ἐν τοῖς ἐσχάτοις καιροῖς,
ὅτε ἡ νὺξ αὕτη τοῦ βίου προέκοψεν,
ἡ δὲ ἡμέρα ἤγγικε,
πρὸς τὸ φῶς διεγείρων
τῆς τοῦ κριτοῦ ἐπιλάμψεως
τοὺς ἐν ἁμαρτίαις καθεύδοντας.

Πρέμνος ἐκ ῥίζης εὐγενοῦς ἀνέδραμες,
φύλλοις ὡραίοις κομῶν,
τοῖς φυσικοῖς δώροις,
οἷς θεόθεν εἴληφας,
ταῖς ἀρεταῖς δὲ κύκλωθεν
ὡς ἐλαία ἐν οἴκῳ
θεοῦ κατάκαρπος, ὅσιε
πάτερ ἱεράρχα Εὐθύμιε.

Tit. Τοῦ ἁγίου τοῦ Ἐφέσου Μάρκου ἔτι ὄντος ῥήτορος τῶν νοταρίων P Verba Εὐθυμίῳ ἀμήν desunt in P, Legrand supplevit auctoritate acrostichidis.
Heirm. α′ EE 219, n. 314, Joannis Heirm. om. P

8 Si. 50:6 **10-11** Ro. 13: 12 **20-21** Ps. 51: 8

www.tezaurliturgic.ro

Ἀπὸ νεότητος ζυγὸν ἀράμενος
τὸν ἐλαφρότατον,
ὑπεριδὼν πλούτου καὶ τρυφῆς, ἀοίδιμε,
καὶ τοῦ κενοῦ φυσήματος,
κατελέγης τῷ θείῳ τῶν μοναζόντων συστήματι,
λάμπων ἀρεταῖς ὑπὲρ ἥλιον.

Θ. Μεγαλυνέσθω θεοπλόκοις ᾄσμασιν
ἡ πολυΰμνητος
λόγου θεοῦ μήτηρ, τῶν ἀγγέλων καύχημα,
τῶν ἀθλητῶν τὸ στήριγμα,
τῶν ὁσίων ἡ δόξα,
πατριαρχῶν ἐγκαλλώπισμα,
ὧν σφραγὶς ὁ μέγας Εὐθύμιος.

Ὠδὴ τρίτη. Ὁ στερεώσας κατ' ἀρχάς

Τοῖς βουλομένοις τὰ λαμπρὰ
τῶν ἐπὶ γῆς τιμωμένων
ἀπορρίψας νουνεχῶς, ἀντὶ πάντων
ἓν ἐτήρησας σαυτῷ,
τὴν περὶ λόγους δύναμιν·
ὅθεν ἡ οἰκουμένη
μέγαν πλουτεῖ σε διδάσκαλον.

Ῥητορικὴ μὲν ἡ πυρὸς
πνείουσα μένος εἰς ἄκρον
ἐκπεπόνητο συντόνῳ μελέτῃ·
τὸ δὲ ἦθος σοι, σοφέ,
μηδὲν προσῆκον ῥήτορσι
φιλοσοφίαν ὄντως
ὑψηλὴν ἐμνηστεύσατο.

Ἵνα συλλέξῃς τὸ γλυκὺ

Heirm. γ' EE 219, n. 314, Joannis

23-24 Mat. 11: 29

καὶ νεκταρῶδες κηρίον,
ὡς ἡ μέλιττα, σοφέ, τοὺς λειμῶνας
περιῒπτασο, παντὸς
λόγου συλῶν τὸ χρήσιμον
καὶ διανοίας σίμβλοις
φιλοπονῶν ἐθησαύριζες.

Ἀπὸ τῆς δύσεως φανεὶς
ὡς ἥλιος τὴν πορείαν
ἐναντίαν τῷ παντὶ σὺν ὀλίγοις
ἐν τῇ σπάνει τοῦ καλοῦ
περιφανῶς ἐβάδισας·
ὅθεν τὴν ἐκκλησίαν
ὑψόθεν πᾶσαν κατέλαμψας.

F. 334v Ἀδυνατοῦσι προφανῶς
οἱ δυνατοὶ περὶ λόγους
τὰς ἀπείρους ἀφορμὰς ἐξαντλῆσαι
τῶν ἐπαίνων τῶν εἰς σέ·
διὸ κἀγώ, πανύμνητε,
τὸν ἱεράρχην ᾄδων,
καὶ σοὶ τῶν ὕμνων ἀπάρχομαι.

Ὠδὴ τετάρτη. Σύ μου, Χριστέ

Ῥεῦμα χωροῦν
κατὰ πρανοῦς ἐπιστάμενος
τὸ τοῦ κόσμου
μάταιον δοξάριον,
οὐ παρεσύρης τὸν λογισμόν·
ὅθεν ὁ τῆς δόξης
θεός σε ἐπισκεψάμενος
εἰς δόξαν ὑπερτάτην
ἀπὸ δόξης ἀνάγει

Heirm. δ' EE 219, n. 314, Joannis

76-77 Ac. 7: 2-3 78-79 II Co. 3: 18

www.tezaurliturgic.ro

καὶ δυνάμεως, πάτερ, εἰς δύναμιν.

Χρίσμα σεπτὸν
ἱερωσύνης δεξάμενος
ἐκ τῆς θείας
ψήφου, ἱερώτατε,
καὶ λογικῆς μάνδρας προστατεῖν
κατηξιωμένος,
τῇ βασιλίδι τῶν πόλεων
ἐπέστης, ὡρισμένος
ἄνωθεν τῇ προνοίᾳ
ταύτης θεῖος ποιμὴν καὶ διδάσκαλος.

Ἡ ἀρετὴ
καὶ βασιλεῦσιν αἰδέσιμον,
ἡ σοφία
φοβερόν σε ἔδειξε
τοῖς περὶ λόγους διηνεκῶς
κατατριβομένοις,
ἡ ἐν τοῖς πράγμασι σύνεσις
ἐξαίρετον ἐν πᾶσι
νομοθέτην καὶ στάθμην,
τὰ πρακτέα καὶ μὴ δοκιμάζουσαν.

Δουλαγωγῶν
τὸ τῆς σαρκὸς χεῖρον φρόνημα
καὶ παιδεύων
ἔπεσθαι τῷ πνεύματι
καὶ καθυπείκειν δουλοπρεπῶς,
νηστείαις συντόνοις
καὶ ἀγρυπνίαις ἐκέχρησο
καὶ πόνοις ἀνενδότοις,
τὴν ἰλὺν ἐκκαθαίρων
καὶ τὸ πάχος λεπτύνων, θεόπνευστε.

94 post φοβερόν om. σε Legrand
102 Ro. 8: 6-7
105 καθυπείκειν P: καθυπείκεις Legrand

Θ. Νέον ἡμῖν
Θεὸν παιδίον ἐγέννησας
πρὸ αἰώνων,
τὸν συγκαθεζόμενον
τῷ προανάρχῳ αὐτοῦ πατρὶ
καὶ τῷ παναγίῳ
συνδοξαζόμενον πνεύματι,
Μαρία Θεοτόκε,
διὰ σπλάγχνα ἐλέους
χρηματίσαι υἱόν σου θελήσαντα.

Ὠδὴ πέμπτη. Ἵνα τί με ἀπώσω

Ὀρθοδόξῳ στοιχήσας
δόγματι, πανόλβιε, τῆς ἐκκλησίας Χριστοῦ,
τοὺς πολυκινδύνους
Ἀκινδύνου τοῦ λήρου κακόφρονας
θιασώτας ἤλεγχες ἰσχυραῖς ἀντιλογίαις
καὶ σοφαῖς ἀποδείξεσι χρώμενος.

Ὑπὲρ δόξης ματαίας
τοὺς ἀποσκιρτήσαντας πατρῴου δόγματος
καὶ περιπεσόντας
τῷ κρημνῷ τοῦ Λατίνων φρυάγματος
νουθετῶν, ἐλέγχων ἀδιαλείπτως οὐ κατώκνεις,
κἂν εἰς τέλος ἀσύνετοι ἔμειναν.

Λάμπων βίῳ καὶ λόγῳ
πρὸς τοὺς Ἰταλοὺς ἐξαπεστάλης ἥλιος,
τῶν ἀντιβλεπόντων
ἀμαυρώσας τὰς ὄψεις καὶ θαύματος
τὰς ψυχὰς πληρώσας τῶν συνιέντων τοῦ μεγέθους

Heirm. ε′ EE 219, n. 314, Joannis
133 post λάμπων add. καὶ Legrand
132 ἀσύνετοι P: σύνετοι Legrand
135 τῶν P: τὰς Legrand
119 Odae 9: 78

www.tezaurliturgic.ro

τῆς ψυχῆς σου, θεόφρον Εὐθύμιε.

F. 336 *Ἱερᾶς ποίμνης, πάτερ,*
οἴακας ἐδέξω μοναστῶν ἡγούμενος
τῶν ἐνασκουμένων
τῇ μεγίστῃ ποτὲ τῶν Στουδίου μονῇ,
τὴν τροφὴν εὐκαίρως ἐπιμετρῶν ὡς οἰκονόμος
καὶ ψυχῶν καὶ σωμάτων πιστότατος.

Θ. *Ὁ τὸ πᾶν οὐσιώσας*
λόγος ὑπερούσιος καὶ ὁμοούσιος
τῷ πατρὶ δι' οἴκτον
οὐσιοῦται ἐν μήτρᾳ σου, δέσποινα,
καὶ ἀρχὴν λαμβάνει ὁ χρονικῆς ἀρχῆς ἁπάσης
ἀπειράκις ἀπείρως ἐπέκεινα.

Ὠδὴ ἕκτη. Ἱλάσθητί μοι, σωτήρ

Καθέδραν τὴν ὑψηλὴν
προσαναβῆναι καλούμενος,
τῷ πόθῳ τῆς ἱερᾶς
ἡσυχίας, ὅσιε,
προληφθείς, ἀνένευες,
τοὺς θορύβους πάντως
καὶ τὴν δόξαν ἐκτρεπόμενος.

Ὡς λύχνος ἀειλαμπὴς
οὐκ ἔμελλες ὑπὸ μόδιον
ἐναποκεῖσθαι ἀεί·
διό σε ὁ ὕψιστος
εἰς λυχνίαν τίθησι
τὴν ὑψηλοτάτην
καταυγάζοντα τὰ πέρατα.

Heirm. ς' EE 220, n. 315, Joannis

158-163 Mat. 5: 15

Σιγῶσα, πάτερ σοφέ,
καὶ φθεγγομένη παραίνεσις,
ἁγνείας ὑπογραμμός,
ἐλέους διδάσκαλος
ὁ σὸς βίος προὔκειτο,
εὐτελείας τύπος
καὶ λιτότητος ὑπόδειγμα.

Παρατιθεὶς λογικὴν
καὶ ψυχοτρόφον ἑστίασιν
πολυτελῶς τοὺς πιστοὺς
δαιτύμονας ἔτρεφες,
ἄρτον χαριζόμενος
καὶ τροφὴν ἀγγέλων
οὐρανόθεν καταβαίνουσαν.

Θ. *Ὑπερφυῶς ἐπὶ σοὶ*
τὰ κατὰ φύσιν μαχόμενα
συνῆλθε, μῆτερ ἁγνή,
παρθενία, γέννησις,
ὦ φρικῶδες ἄκουσμα·
τὸν Θεὸν γὰρ τίκτεις
τὸν τὸ πᾶν ὑποστησάμενον.

Ὠδὴ ἑβδόμη. Θεοῦ συγκατάβασιν

Ῥημάτων αἱ χάριτες
τῶν προϊόντων ἀπὸ τοῦ στόματος
τοῦ τιμίου σου, πάτερ,
ὑπὲρ σειρήνια μέλη θέλγουσαι,
τῶν ἀκουόντων ψυχὰς κατευφραίνουσι
καὶ λογισμοὺς θολεροὺς ἐξαποπλύνουσιν.

Ὀρθίως τῷ βήματι

Heirm. ζ' EE 219, n. 314, Joannis

176-178 Jno. 6: 31-32

www.tezaurliturgic.ro

ἑστηλωμένος τὰς ὑπὲρ πάντων εὐχὰς
τῷ δεσπότῃ προσῆγες,
εἰρηνικάς τε θυσίας ἔθυες
τὰς ἀναιμάκτους καὶ λαὸν ἀφήγνιζες
ταῖς μυστικαῖς τελεταῖς καὶ σωτηρίοις, σοφέ.

Σαλπίσας ἐκάλεσας
ἐν ὑψηλῷ καὶ θείῳ κηρύγματι
τῆς ἐλεημοσύνης
πτωχῶν ἀγέλας ὑπὲρ τοὺς μύρμηκας,
οὓς διατρέφων ἀφθόνως οὐκ ἔληγες,
τὸν σιτοδότην σαφῶς ὑπερβαλὼν Ἰωσήφ.

Φωνῆς σου ἐπήκουε
καὶ σιωπῶντος ὡς τοῦ Μωσέως ποτέ
ὁ δεσπότης τῶν ὅλων,
ὅτε τὰς χεῖρας εἰς προσευχὴν ἐπηρκώς,
ἔνθεος ὅλος ἐφαίνου μετάρσιος
καὶ ἐκδημῶν πρὸς αὐτὸν τῇ ἀνατάσει τοῦ νοῦ.

Θ. Ἡ *ὄντως ἀλήθεια*
γῆς τῆς ἁγίας σου ἐξανέτειλεν·
ἀπὸ τοῦ οὐρανοῦ δὲ δικαιοσύνη σαφῶς διέκυψεν,
ὁ τῶν ἁπάντων θεός, ὑπεράμωμε,
ὁ ἐπὶ γῆς οὐρανόν σε δείξας ἔμψυχον.

Ὠδὴ ὀγδόη. Ἑπταπλασίως κάμινον

Θεοειδὴς *γενόμενος*
καὶ λαμπρὸς τὴν διάνοιαν,
τὰς ἱεραρχίας τῶν ἀΰλων τάξεων
ἀΰλως κατώπτευσας,
καθηγεμόνι τῷ ἱερῷ
μάρτυρι Χριστοῦ Διονυσίῳ κατ' ἴχνος

Heirm. η' EE 219, n. 314, Joannis

199 Pr. 9: 3 **203** Ge. 41: 58 **204-207** Ex. 17: 11 **210-213** Ps. 84: 11-12

ἑπόμενος καὶ μέλπων·
«τῶν ἀγγέλων οἱ δῆμοι τὸν Κύριον ὑμνεῖτε
φωνῇ τῇ τρισαγίᾳ».

F. 336v Ἐπιτιμῶν *τοῖς πταίουσι*
κατὰ λόγον, ἀοίδιμε,
κέντρῳ τῆς μελίσσης φειδομένως ἔπληττες,
οὐ ξίφει καὶ δόρατι,
ἀλλ' ὡς πατὴρ φιλόστοργος
τέκνα τοῦ καλοῦ παρὰ μικρὸν ἐκτραπέντα
παιδεύων ἐνουθέτεις,
ἐπιστρέφων εὐτέχνως
καὶ πάλιν ἐπανάγων εἰς τὸ προσῆκον, πάτερ.

Γήρᾳ *καὶ νόσῳ σώματος*
καὶ καμάτοις τρυχόμενος
τοῖς ἐξ ἀρετῆς, τῶν ἱερῶν συνάξεων
οὐδόλως ἠμέλησας,
ἀλλ' ἐν αὐταῖς ἑκάστοτε,
μάκαρ, παραβάλλων προθυμίας ἐπλήρους
τοὺς ψάλλοντας τῷ κτίστῃ·
«ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας».

Γενναιοτάτῃ *χρώμενος*
τῇ ἐνστάσει, θεόληπτε,
πρὸς τὴν καινοτόμον τοῦ φρικτοῦ χαρίσματος
κηλίδα ἀνέκπλυτον
ἐν τοῖς ἀγῶσι μέσοις ἀρθεὶς
εἰς τὴν μακαρίαν ἐξεδήμησας λῆξιν,
λυθέντος τοῦ συνδέσμου
καὶ τοῦ βάρους ἀσμένως
τῇ γῇ καταλειφθέντος, ἐξ ἧς καὶ διεπλάσθη.

Θ. Λόγων *ἐμῶν τὰ πίονα*

239 προθυμίαν P: προθυμίας Legrand **240-242** vv. om. Legrand

241-242 Da. 3: 75-88 **251** Ge. 2: 7

www.tezaurliturgic.ro

καὶ πρωτότοκα θρέμματα
ἐστεατωμένα πιμελῇ τῆς πίστεως
ἐκ πόθου προσάγω σοι,
πενιχρὰν ὁλοκαύτωσιν
εὐεργεσιῶν ἀντὶ πολλῶν καὶ μεγάλων,
ὧν πάλαι νηπιόθεν
παραπήλαυσα, κόρη,
ἐκ σοῦ, θεογεννῆτορ, τῆς κεχαριτωμένης.

Ὠδὴ ἐνάτη. Ἑξέστη ἐπὶ τούτῳ ὁ οὐρανός

Ὁ μέγας τὴν σοφίαν τὴν καθ' ἡμᾶς
καὶ τὴν ἔξω, ποιμένων ὁ κράτιστος, ὁ ὑψηλός,
πράξει τε καὶ λόγῳ περιφανής,
ὁ ἱερὸς Εὐθύμιος
ἄνθεσιν ἐπαίνων χρεωστικοῖς,
στεφάνοις ἐγκωμίων τιμάσθω ἐπαξίως,
ὡς ἱεράρχης ἐνθεώτατος.

Μετέχων ἀκηράτου μαρμαρυγῆς
καὶ ἀΰλου φωτὸς ἐμφορούμενος, ὃ τριλαμπὲς
ἄκτιστον ἐκήρυξας, εὐσεβῶς
τοὺς ἐπὶ γῆς τιμῶντας σε
ἄνωθεν φωτίζοις ἡλιακῶς,
ἰθύνων πρὸς τὸ κρεῖττον, τὴν νύκτα διαλύων
τῶν δυσχερῶν, θεομακάριστε.

Ἀξίως εὐφημῆσαι σε ἀτονῶν,
τὴν ᾠδὴν κατὰ δύναμιν ἔπλεξα· σὺ δὲ σκοπῶν
τὸ τῆς προαιρέσεως ὑγιὲς
καὶ τῆς ψυχῆς τὸ πρόθυμον,
ἄφθονον ἀντίδος τὴν ἀμοιβήν,
λεαίνων μοι τὴν τρίβον τοῦ βίου καὶ τὰ νέφη
τῶν πειρασμῶν ἀποκρουόμενος.

Ἰδού σοι νῦν προσπίπτω ἱκετικῶς·

Heirm. θ' EE 220, n. 314, Joannis **270** ἄκτιστον om. Legrand

ἣν ἐπέθηκας χεῖρα μοι ἱεροτελεστικὴν
ταύτην ἀναπέτασον πρὸς θεόν,
εἰρηνικὴν αἰτούμενος
καὶ γαληνιῶσαν μοι τὴν ζωήν,
συγχώρησιν πταισμάτων καὶ δόξης μετουσίαν
τῆς σῆς, κἂν μέγα τὸ ζητούμενον.

Εὐθύμιε, τὸ κλέος πατριαρχῶν,
F. 337 Ὑπὲρ τέκνων τῶν σῶν καθικέτευε μετὰ πολλῆς
Θεῷ παριστάμενος τῆς τιμῆς,
Ὑφαιρεθέντος, ἅγιε,
Μέσου προκαλύμματος ὑλικοῦ,
Ἰδέας τῆς ἀΰλου ἀμέσως ἐκφανείσης
Ὡς καθαρῷ σοι, ἱερώτατε.

Θ. Ἀγγέλων εὐφημοῦσιν αἱ στρατιαὶ
πυριμόρφοις ἀΰλοις ἐν χείλεσι τὸ κατά σε
Μυστήριον, κόρη, τὸ φοβερὸν
αὐτοῖς καὶ ἀθεώρητον
Ἡμεῖς τε συμφώνως οἱ διὰ σοῦ
σωθέντες ὥσπερ δῶρον τὸν ὕμνον ἐπαξίως
Νέμομέν σοι, θεοχαρίτωτε.

VII[a]. Σπιχηρά. Ὦ τοῦ παραδόξου θαύματος

Χαίροις, ἱερέων καύχημα,
τῶν μοναζόντων φωστήρ,
ὁ τοῦ γένους διάκοσμος,
ὁ πολὺς τὴν σύνεσιν
καὶ τὸν ζῆλον θερμότατος,
τῆς ἡσυχίας στύλος ὁλόφωτος,
τῆς ἀκριβείας γνώμων εὐθύτατος,
πράξεως ἔρεισμα,
θεωρίας ἄβυσσος, πάντων ὁμοῦ

Heirm. stich. MR I 314

292 Cfr. II Co. 3: 18 **6** Cfr. Ex. 13: 21

www.tezaurliturgic.ro

τῶν καλῶν ἀρχέτυπον,
πάτερ Εὐθύμιε.

Ὅμοιον.

Ὡς ἐξ οὐρανοῦ διήχησεν
ἐπὶ τῆς γῆς ἡ φωνή
τῆς βροντῆς σου, ἀοίδιμε,
ἐν τροχῷ ὡς γέγραπται τῷ τοῦ κόσμου πληρώματι·
αἱ ἀστραπαὶ δὲ τῆς πολιτείας σου
τῇ οἰκουμένῃ πάσῃ ἐπέφαναν·
ὡς γὰρ ὑπόπτερος
πανταχοῦ διέδραμεν ἡ περὶ σοῦ
φήμη διαγγέλλουσα
τὰ σὰ θαυμάσια.

Ὅμοιον.

Πόλιν βασιλίδα νεύματι
θείῳ διέπειν λαχών,
τὸ βασίλειον ἔδειξας
τῆς ψυχῆς σου μέγεθος
ἐν καιροῖς ἀντιβαίνουσι,
κοσμῶν παντοίως τὴν ἐκκλησίαν Χριστοῦ,
πτωχοῖς ἀφθόνῳ χειρὶ δωρούμενος,
ζῆλον τὸν ἔνθεον
ὑπὲρ ἀξιώματος τοῦ ἱεροῦ
καὶ δώρου τοῦ κρείττονος
ἐπιδεικνύμενος.

Ὅμοιον.

Τὸ τῶν ἀρετῶν κειμήλιον,
ὁ τῆς σοφίας κρατήρ,
τῶν χαρίτων τὸ τέμενος,

15 Ps. 76: 18 **34** Pr. 9: 2

ἡ πηγὴ ἡ βρύουσα
νεκταρώδη διδάγματα
πνεύματι θείῳ ἀναστομούμενα,
γαληνοτάταις ροαῖς ἐπάρδοντα
γῆς τὰ πληρώματα,
ὁ λαμπρὸς Εὐθύμιος, ἱεραρχῶν
κλέος τὸ περίφημον,
ἀνευφημείσθω πιστῶς.

*

* *

www.tezaurliturgic.ro

VIII. *Κανὼν εὐχαριστήριος εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἰώμενον πᾶσαν νόσον ὑπὲρ τοῦ εὐσεβεστάτου βασιλέως ἡμῶν Ἰωάννου τοῦ Παλαιολόγου, ἰαθέντος ὑπὲρ ἐλπίδα πᾶσαν τὴν τοῦ σώματος ὅλου καὶ τῶν ποδῶν πάρεσιν, οὗ ἡ ἀκροστιχίς· Παντοδύναμον ἰητῆρα Χριστὸν μεγαλύνω ὁ Μάρκος.*

Ὠδὴ πρώτη. Ἦχος δ'. *Ἀνοίξω τὸ στόμα μου*

F. 178 Παντοίοις χαρίσμασι
κατακοσμήσας τὸν ἄνθρωπον,
ὃν ἔπλασας πρότερον
τῇ παναλκεῖ σου χειρί,
χρόνοις ὕστερον
ὅλον αὐτὸν φορέσας,
ἰάσω, φιλάνθρωπε,
τὰς ἀσθενείας αὐτοῦ.

Ἀδέτωσαν ἅπαντες
οἱ βασιλεῖς τῆς γῆς σήμερον,
ἐξομολογούμενοι
τὰ σὰ θαυμάσια,
ὅτι ἤκουσαν
ἐκ νόσου βαρυτάτης
ὡς ἔσωσας, Κύριε,
τὸν βασιλέα ἡμῶν.

Νεκροὺς ἐξανέστησας
τῷ σῷ προστάγματι, δέσποτα,
λεπροὺς ἐκαθάρισας,
τυφλοὺς ὠμμάτωσας
καὶ συνέσφιγξας
τὰ μέλη παρειμένους,
καὶ νῦν τῇ εἰκόνι σου
ταῦτα ποιεῖς ἐμφανῶς.

Tit. Nomen Ἰωάννου τοῦ Παλαιολόγου in marg. scriptum invenitur

Heirm. α' EE 99, n. 141, Joannis

11-12 Ps. 88: 5

Τοῦ γένους ὁ πρόβολος,
τῶν ὀρθοδόξων τὸ καύχημα,
Ῥωμαίων ὁ κράτιστος
καὶ εὐσεβὴς βασιλεὺς
τὸν αἰώνιον
καὶ μέγαν βασιλέα
Χριστὸν τῆς ἰάσεως
ὕμνοις ἀμείβεται.

Θ. Ὁ δούλου δι' ἔλεον
μορφὴν ἐκ σοῦ προσλαβόμενος
F. 178v *εὐδόκησε, δέσποινα,*
τὴν ἑαυτοῦ καὶ τὴν σὴν
παρασχεῖν ἡμῖν
μορφὴν ἐν ταῖς εἰκόσιν,
ἐξ ὧν τὰ ἰάματα
πίστει λαμβάνομεν.

Ὠδὴ τρίτη. *Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε*

Δόξα σοι, τῷ μόνῳ εὐεργέτῃ,
τῷ μόνῳ σωμάτων καὶ ψυχῶν
θεραπευτῇ, φιλάνθρωπε,
ὅτι καὶ νῦν τὴν πόλιν σου
πᾶσαν ὑφὲν ἀνώρθωσας,
τὸν εὐσεβῆ σώσας ἄνακτα.

Ὑμνήσωμεν ἅπαντες συμφώνως
τὸ ἔλεος, ὅπερ εἰς ἡμᾶς
ὁ ἐλεήμων ἔδειξε,
τῆς χαλεπῆς παρέσεως
τὸν τῶν ἁπάντων σύνδεσμον,
τὸν βασιλέα, ῥυσάμενος.

Heirm. γ' EE 100, n. 141, Joannis

33-34 Phi. 2: 6-7

www.tezaurliturgic.ro

Ναῷ σου τῷ θείῳ προσπεσόντα
θερμότητι πίστεως, Χριστέ,
τὸν εὐσεβῶς ἰθύνοντα
τὸν ἐκλεκτόν σου τοῦτον λαόν,
νόσῳ δεινῇ κατάσχετον,
ὡς συμπαθὴς ἐθεράπευσας.

Αἰρόμενον πρὶν ὑπὸ τεσσάρων
παράλυτον ἤγειρας, σωτήρ,
καὶ νῦν τὸν βασιλεύοντα,
ὑπομονῇ καὶ πίστει σοι,
ἐλπίδι καὶ ἀγάπῃ τε
προσενεχθέντα, ἀνώρθωσας.

Θ. Μεγάλης καὶ νῦν εὐεργεσίας
ἠξίωσας ἅπαντας ἡμᾶς,
θαυματουργήσας, εὔσπλαγχνε,
ταῖς ἱεραῖς δεήσεσι
τῆς μόνης θεομήτορος,
τῆς συνεχοῦς ἡμῶν προστάτιδος.

Ὠδὴ τετάρτη. Ὁ καθήμενος ἐν δόξῃ

Ὁ τὴν ποίμνην σου φυλάττων,
κραταιὲ μόνε Κύριε,
τῶν ὠρυομένων
κύκλωθεν λεόντων ἀπήμαντον,
τῇ τοῦ σταυροῦ σου δυνάμει,
διασῴζοιτο
ἐπηρείας παντοίας καὶ νόσων ἀνώτερος.

Νέον ἄλλον παρειμένον
ἐθεράπευσας, εὔσπλαγχνε,
νέᾳ κολυμβήθρᾳ

Heirm. δ′ EE 95, n. 135, Joannis

59-60 Mar. 2, 4 **62-63** I Co. 13: 13 **73-74** I Pe. 5, 8
78-82 Cfr. Jno. 5: 2-3, 5-9

τῶν ἁγιασμάτων σου κείμενον,
τὸν εὐσεβῆ βασιλέα,
διὸ κράζομεν·
«πολυέλεε, δόξα, Χριστέ, τῷ ἐλέει σου.»

F.179 Ἵνα πάλαι προτυπώσῃ
τοῦ σταυροῦ σου τὴν δύναμιν,
Μωϋσῆς ἐν ξύλῳ
ὕδατα πικρὰ διεγλύκανε,
νῦν δὲ ἡ θεία εἰκών σου,
παντοδύναμε,
ἐκ θαλάσσης τὸ ὕδωρ γλυκὺ ἀναδίδωσιν.

Ἡ ἀκρότης τῶν μαρτύρων,
ὁ πολὺς ἐν τοῖς θαύμασι
καὶ ταῖς ἀριστείαις,
ὁ τροπαιοφόρος Γεώργιος
σὲ δυσωπεῖ, ἐλεῆμον,
διασῴζεσθαι
τὸν πιστὸν βασιλέα ἡμῶν ἐκ παντοίων δεινῶν.

Θ. Τὴν ἁγίαν Θεοτόκον
εὐφημήσωμεν ἅπαντες
εὐχαρίστοις ὕμνοις,
ὅτι τὴν αὐτῆς πόλιν σῴζουσα
καὶ νῦν ὡς ἔθος προφθάνει,
διαρπάσασα
ταῖς πρεσβείαις αὐτῆς ἐκ τῆς νόσου τὸν ἄνακτα.

Ὠδὴ πέμπτη. Ἐξέστη τὰ σύμπαντα

Ἡμέρα χαρμόσυνος
ἐν ταῖς πενθίμοις ἔλαμψεν
ἡμῖν καὶ διήγειρε πᾶν γένος,

Heirm. ε′ EE 100, n. 141, Joannis

87-88 Ex. 15: 23-25

www.tezaurliturgic.ro

πᾶσαν ἀξίαν καὶ ἡλικίαν πιστῶν
ὑμνεῖν τὸν ἐγείραντα Χριστὸν
ἐκ νόσου κακώσεως
τὸν πιστότατον ἄνακτα.

Ῥεούσης χρηστότητος
ἐκ τῶν πηγῶν ἀντλήσωμεν
τῶν τοῦ σωτηρίου ὕδωρ ξένον,
θαλάσσης μέσης ἀναδιδόμενον,
παντοίων χαρίτων χορηγόν,
νόσων ἀκεσώδυνον
καὶ καμάτων λυτήριον.

Ἄγγελος μὲν πρότερον
κατὰ καιρὸν κατέβαινεν
ἐν τῇ πενταστώῳ κολυμβήθρᾳ,
νοσοῦντα μόνον ἕνα ἰώμενος,
σὺ δέ, παντοδύναμε, παρὼν
ἀεὶ τῇ εἰκόνι σου
καὶ τῷ ὕδατι σώζεις πολλούς.

Χρηστότητος ἄβυσσος
ὑπάρχων ἀνεξάντλητος,
οὐ παρεῖδες, σῶτερ, τὰς αἰτήσεις
τῶν μετὰ πίστεως δεομένων σου,
ἀλλ' ἔσωσας νόσου χαλεπῆς
τὸν κοινὸν ὑπέρμαχον
καὶ τῆς πίστεως φύλακα.

F. 179v. *Ῥωσθεὶς ἐκ τῆς χάριτος*
τῆς σῆς πρεσβείας, ἄχραντε,
καὶ τοῦ θαυμαστοῦ τροπαιοφόρου
τῶν ὀρθοδόξων πάντων ὁ πρόμαχος
ἐκ νόσου παρέσεως δεινῆς,
ἀμφοῖν ἀνατίθησι
χαριστήριον αἶνεσιν.

120-123 Jno. 5: 2-5

Ὠδὴ ἕκτη. Τὴν θείαν ταύτην καὶ πάντιμον

Ἰδού σοι πίστει προσέδραμον,
ἐλπίδος ἀνθρωπίνης ἠλόγησα
καὶ οὐ διήμαρτον
τῆς ἐπὶ σὲ πεποιθήσεως,
ἀλλά μοι τὴν ὑγείαν, σῶτερ, συντήρησον.

Σύ, ὁ ζωὴν χαρισάμενος
ποτὲ τῷ Ἐζεκίᾳ δακρύσαντι,
καὶ νῦν, φιλάνθρωπε,
τὸν εὐσεβῆ ἡμῶν ἄνακτα
πολυετῆ φυλάττοις καὶ ὑγιαίνοντα.

Τυφλὸν ποτὲ ἐκ γενέσεως
ἰάσω τῷ πηλῷ καὶ τοῖς ὕδασι,
νῦν δέ, φιλάνθρωπε,
θαλάσσῃ θείᾳ καὶ ὕδατι
πολυειδῆ καθαίρεις πιστῶν νοσήματα.

Ὁ μέγας μάρτυς Γεώργιος
τὸν μέγαν βασιλέα σε πρότερον
ὑποδεξάμενος,
πλησίον, σῶτερ, σκηνώσαντα,
νῦν ἀπαιτεῖ τὴν χάριν· «σῷζε τὸν ἄνακτα».

Θ. *Ναὸς Θεοῦ καθαρώτατος*
καὶ θρόνος ὑψηλὸς τοῦ παντάνακτος
φανεῖσα, πάναγνε,
πηγὴν θαυμάτων ἀένναον
τὸν σὸν ναὸν δεικνύεις καὶ τὴν εἰκόνα σου.

Heirm. ς' EE 100, n. 141, Joannis

146-147 IV Ki. 19: 1

151-152 Jno. 9: 1-7

www.tezaurliturgic.ro

Ὠδὴ ἑβδόμη. Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες

Μεγαλύνων σου τὴν πόλιν, παντοδύναμε,
καθάπερ μέγας πυρσὸς
ἄκραν αὐτῆς σκοπιὰν
τῇ θείᾳ εἰκόνι σου
περιφανῶς κατασχών,
πλείστοις θαύμασι φωτίζεις τοὺς προσάγοντας
ἐκ τῆς γῆς καὶ τῆς θαλάσσης.

Εὐλογήσω ἐν παντὶ καιρῷ τὸν Κύριον,
ὅτι φωνῆς τῆς ἐμῆς
εἰσήκουσε συμπαθῶς
καὶ πάσης με θλίψεως
F. 180 ὅλον ἐρρύσατο·
ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν,
σὺν ἐμοὶ τοῦτον ὑμνοῦντες.

Γεγραμμένος ἐν εἰκόνι, ἀπερίγραπτε,
τῇ ἀοράτῳ μορφῇ,
καθάπερ ὢν ἐπὶ γῆς,
ποικίλα θαυμάσια
τελεῖς ἑκάστοτε
καί τὴν θάλασσαν καθαγιάσας φάρμακον
τῶν δεινῶν ῥευμάτων δίδως.

Ἀτεκνοῦντα μὲν ἰάσατο τὰ ὕδατα
ὁ Ἐλισσαῖος ποτέ,
ἅλας αὐτοῖς ἐμβαλών,
σὺ δέ, παντοδύναμε,
ταύτην τὴν θάλασσαν
εἰς γλυκύτητα μεταποιήσας, ἥδυσμα
τοῖς νοσοῦσιν ἐπαρτύεις.

Θ. Λυτρωθέντες τῆς ἀρχαίας παραβάσεως

Heirm. ζ′ EE 100, n. 141, Joannis

173 Ps. 33: 1 **178** Ps. 33: 2 **187-189** IV Ki. 2: 20-22

τῷ θείῳ τόκῳ σου,
νῦν ἐκ κινδύνων πολλῶν
ἡ πόλις σου, δέσποινα,
διασῳζόμεθα,
τὴν εἰκόνα σου πλουτοῦντες ὥσπερ ἄμαχον
θυρεόν, εὐλογημένη.

Ὠδὴ ὀγδόη. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ

Ὕμνους ἐκ στομάτων ὁμοφώνων
Χριστῷ τῷ Θεῷ ἡμῶν ἀναβοήσωμεν,
ὅτι τὸν ὡς λέοντα
κύκλῳ περιάγοντα
καταπιεῖν τε ἅπαντας
διανοούμενον
ἀπέδειξεν εἰς μάτην χανόντα,
τὸν ἡμῶν προστάτην
ἐγείρας ἐκ τῆς νόσου.

Ναούσης ἐκ πέτρας ἀκροτόμου
λαὸς ὁ Ἰσραηλίτης πρὶν ἐθήλασεν,
ἡμεῖς δὲ τὴν θάλασσαν
ὕδωρ ποτιμώτατον
ἀναδιδοῦσαν βλέποντες
καὶ ἀρυόμενοι
πλουτοῦμεν τῶν παθῶν θεραπείαν,
ὑμνοῦντες τὸν τότε
καὶ νῦν θαυματουργοῦντα.

Ὡς πάλαι Δαϋὶδ τῷ πραοτάτῳ
παρέστης ἐν τοῖς κινδύνοις, σῶτερ, σύμμαχος,
οὕτω νῦν κραταίωσον
κατ᾽ ἐχθρῶν, φιλάνθρωπε,
τὸν εὐσεβῶς ἰθύνοντα
τὸν ἐκλεκτόν σου λαὸν

Heirm. η′ EE 100, n. 141, Joannis

203-205 I Pe. 5: 8 **210-211** Ex. 17: 5-7 **219-220** Ps. 114: 3

www.tezaurliturgic.ro

καὶ δώρησαι αὐτῷ τὴν ὑγείαν
ἀσινῆ τηρεῖσθαι
διὰ μακρῶν τῶν χρόνων.

F. 180 Ὁ μέγας ἰδοὺ τροπαιοφόρος
συνήθως τὸν βασιλέα προσλαβόμενος,
φέρων παρατίθησι
τῷ πάντων δεσπόζοντι,
τῷ ἰατρῷ σωμάτων τε
καὶ τῶν ψυχῶν ὡς Θεῷ,
καί θᾶττον ὑγιαίνοντα δείξας
χαίροντα ἐκπέμπει,
κηρύττοντα τὴν χάριν.

Θ. Μικρὰν ἐκ μεγάλης τὴν σὴν ποίμνην,
παρθένε, δι᾽ ἁμαρτίας χρηματίσασαν,
φύλαττε, δεόμεθα,
ἄνωθεν ἁπλώσασα
τὰς ἱερὰς ἀγκάλας σου,
ἐν αἷς συνέσχες θεόν,
καὶ δώρησαι τῷ ταύτης προμάχῳ
σταθερὰν ὑγείαν
ἐπὶ μακροὺς ἡλίους.

Ὠδὴ ἑνάτη. Ἅπας γηγενὴς

Ἄϊρων ὀφθαλμοὺς
ψυχῆς τε καὶ σώματος
πρός σέ, τὸν εὔσπλαγχνον,
αἰτοῦμαι τὴν ἴασιν
τελείαν, σώαν, βεβαίαν, ἄλυτον·
ἅπαν γὰρ δῶρον τέλειον ἄνωθεν κάτεισιν
ἐκ σοῦ μόνου·
διὸ τὴν ὑγείαν μοι
σταθερὰν διὰ τέλους συντήρησον.

Heirm. θ′ EE 100, n. 141, Joannis

251 Ja. 1: 17

Ῥεύσασαν ἡμῶν
τὴν φύσιν, φιλάνθρωπε,
καὶ ἐκπεσοῦσαν ἐκ σοῦ
πάλιν ἐπανήγαγες
τῇ σωτηρίῳ συγκαταβάσει σου·
διὸ καὶ νῦν δεόμεθα· τὸν βασιλέα ἡμῶν,
συμπτωθέντα
τῇ νόσῳ, στερέωσον
καὶ τῇ σῇ δυναστείᾳ ἀνύψωσον.

Κλῖνον σου τὸ οὖς,
Χριστέ, καὶ ἐπάκουσον
τῶν δεομένων σου,
θραῦσον τὰ φρυάγματα
τῶν πολεμούντων ἡμῖν ἀθέων ἐχθρῶν,
τὸν βασιλέα στήριξον ἀνορθωσάμενος
ἐπὶ πέτραν
τῆς σῆς ἀντιλήψεως,
τοὺς πιστοὺς ὁμοῦ πάντας εἰρήνευσον.

Ὁ τῆς ἐπὶ γῆς,
Χριστέ, κληρουχίας σου
στερεὸς ὑπέρμαχος,
ἄναξ ὁ πραότατος,
ὁ τῆς σοφίας καὶ τῆς ἀνδρείας βλαστός,
τὸν μέγαν ἀρχιποίμενα σοι προβαλόμενος
εἰς πρεσβείαν,
ταῖς αὐτοῦ δεήσεσι
τὴν ὑγείαν πιστῶς ἐκομίσατο.

Θ. Σὲ μετὰ Θεὸν
οἱ δοῦλοί σου, δέσποινα,
προστάτιν ἔχομεν,
σοὶ καταπιστεύομεν
τὴν σωτηρίαν τῶν βασιλέων ἡμῶν,
τὴν φυλακὴν τῆς πόλεως, τὴν τῶν δεινῶν ἀνοχήν·
σὺ γὰρ μόνη
πάντας κινδυνεύοντας
παραδόξως πολλάκις διέσωσας.

264 Ps. 85: 1

www.tezaurliturgic.ro

IX. *Κανὼν εἰς τὰ ἐννέα τάγματα τῶν ἀσωμάτων, οὗ ἡ ἀκροστιχίς·*
Τοῖς ἐννέα τάγμασιν ᾠδὰς ἐννέα* Μάρκος *μοναχὸς* Εὐγενικὸς *ἐξᾴδω.

F. 185 **Ὠδὴ πρώτη. Ἦχος πλάγιος δ'.**
Ἁρματηλάτην Φαραὼ ἐβύθισε

Σ Τὸν τῶν ἀΰλων οὐσιῶν διάκοσμον
ἀνευφημῆσαι τολμῶν
ἐν ὑλικῇ γλώσσῃ
καὶ ῥυπῶσι χείλεσι,
E τῆς πυριμόρφου δέομαι
καθαρσίου λαβίδος,
ἧς Ἡσαΐας ἠξίωται
θείῳ φωτιζόμενος ἄνθρακι.

P Ὁ ταῖς ἀμέσοις ἀστραπαῖς λαμπόμενος
τῆς ἀρχιφώτου πηγῆς
καὶ τριλαμποῦς αἴγλης
νοερὸς διάκοσμος,
A τριαδικαῖς ἀκρότησι
συμπληροῖ τὴν πρωτίστην
ἱεραρχίαν, μυούμενος
ἐξ αὐτοῦ Θεοῦ τὰ θειότατα.

Φ Ἱερωτάταις ἑξαρίθμοις πτέρυξιν
ἀνατεινόμενοι
πρὸς ἐφικτὸν ὕψος,
Σεραφὶμ θειότατοι,
I τῇ ἀπροσίτῳ πάντοτε
θεαρχίᾳ τὸν ὕμνον
τὸν πολυύμνητον ᾄδετε,
M τὸ «ἅγιος, ἅγιος, ἅγιος».

Tit. Τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Ἐφέσου κυροῦ Μάρκου ante κανὼν εἰς τὰ ἐννέα τάγματα add V **Heirm. α'** EE 219, n. 314, Joannis

6-7 Is. 6: 6 **23-24** Is. 6: 2

Συγκαλυπτόμενοι δυσὶ ταῖς πτέρυξι
τὰ θεῖα πρόσωπα
καὶ ταῖς δυσὶ πόδας,
Σεραφὶμ ὑπέρτατοι,
τὸ εὐλαβὲς ἐνδείκνυσθε
πρὸς τὰ ὕψη καὶ βάθη,
καὶ ταῖς δυσὶ προσπετόμενοι
τὸ περὶ τὰ μέσα ταχύπορον.

Ἐμπρηστικῆς καὶ καθαρσίου φύσεως
ὄντες καὶ κλήσεως
θεοειδεῖς νόες,
Σεραφὶμ ὁλόφωτοι,
τὸν ἐν τῷ σκότει κείμενον
καταυγάσατε νοῦν μου
F. 185v καὶ τὰ ζοφώδη χειρόγραφα
τῶν ἁμαρτιῶν μου συμφλέξατε.

Θ. Νοῦν καὶ ψυχὴν κεκαθαρμένη πρότερον
ταῖς θεουργοῖς ἀρεταῖς,
θεοειδὴς κόρη,
ἡγιάσθης ὕστερον
τῇ τοῦ ἁγίου πνεύματος
ἐπελεύσει τὸ σῶμα
καὶ ὅλη νοῦς ἐχρημάτισας,
τῶν ἀΰλων νόων ὑπέρτερος.

Ὠδὴ δευτέρα. *Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ*
Θεὸς ὑμῶν ὁ πρὸ τῶν αἰώνων γεννηθείς

Νόες ἁπλούστατοι,
ὅλοι δι' ὅλων τῷ ἀΰλῳ φωτὶ
κατηγλαϊσμένοι παμφαῶς, θρόνοι σεπτοί,
φῶτα δευτερεύοντα τελεῖσθε,

Heirm. β' EE 226, n. 323, Germani, integrum referunt D, V

25-32 Is. 6: 2 **45-46** Lu. 1: 35

www.tezaurliturgic.ro

ἐπαναπαυόμενον
Θ *τὸν τοῦ φωτὸς ὑποστάτην*
55 *ἐφ' ὑμῖν θεοπρεπῶς ὑπανέχοντες.*

P Ἐπιφοιτήσεως
θεαρχικῆς ὄντες ὅλοι δεκτικοί,
θεοφόροι θρόνοι, καὶ πρὸς θείας εἰσδοχὰς
O 60 *ἀναπεπταμένοι καὶ ἐφ' ὕψους*
δυνάμεσιν ὁλικαῖς
ἀσείστως ἐνιδρυμένοι,
N *πεπλουτήκατε τὴν κλῆσιν κατάλληλον.*

Ἄσειστον, ἄτρεπτον,
Ω 65 *ἐξῃρημένον πάσης ὑφέσεως*
τῆς περιπεζίου τὸν ἐμὸν δείξατε νοῦν,
ἐπηρμένοι θρόνοι, καὶ πρὸς θείας
N *ἐννοίας καὶ ὑψηλὰς*
καὶ λόγους με φιλοθέους
70 *συγκινήσατε, ὑμᾶς μεγαλύνοντα.*

Τάξει κοσμούμενοι
τριαδικῇ οἱ θεῖοι διάκοσμοι
τῶν ἀΰλων νόων, ἐφ' ἑκάστης τῶν τριῶν
ἱεραρχιῶν προσδιαιροῦνται,
75 *τριχῶς εἰς πρώτους βαθμοὺς*
F. 186 *καὶ μέσους καὶ τελευταίους*
τετραγώνῳ ἀριθμῷ συμπληρούμενοι.

Θ. Ἄδυτον ἥλιον
δικαιοσύνης ἐξανατείλασα
80 *φωτεινὴ νεφέλη, μητροπάρθενε ἁγνή,*
σκέπη κόσμου πέφηνας καὶ φύλαξ·
σκέπασον δὴ καὶ ἐμὲ
ἐξ ἐπηρείας παντοίας
σὺν τῷ φύλακι ἀγγέλῳ, ὃν ἔλαχον.

80 Ex. 13: 21

Ὠδὴ τρίτη. Ὁ στερεώσας κατ' ἀρχάς

85 Γνώσεως πλῆθος ὑψηλῆς,
φωτοδοσίας ἀΰλου
X *χύσιν ἄφθονον θεόθεν πλουτοῦντες,*
τοῖς δευτέροις κοινωνοὶ
τῶν δωρεῶν τυγχάνετε,
90 *τὴν σοφοδότιν κλῆσιν,*
E *ὦ Χερουβίμ, ἐνδεικνύμενοι.*

Μυρίοις ὄμμασιν ὑμᾶς
ὁ θεοφόρος προφήτης
P *διαπρέποντας ἑώρα, θεόπται*
95 *Χερουβίμ, πρὸς μετοχὴν*
θεαρχικῶν ἑλλάμψεων
ὅλους ἐπιτηδείους
O *ὑπερφυῶς διδασκόμενος.*

Ἄνω τῆς θείας κιβωτοῦ
100 *χρυσοῦς ὑμᾶς εἰκονίζει,*
Y *Χερουβίμ, δόξης*
Μωσῆς ὁ θεόπτης,
ἱλαστήριον σεπτὸν
σεπτῶς κατασκιάζοντας,
B 105 *φυλακτικοὺς τῶν θείων*
πανευλαβῶς αἰνιττόμενος.

Συντονωτάτῃ καὶ στερρᾷ
I *φωνῇ πολλῶν ὡς ὑδάτων*
ἀνακράζετε τὸν ἔνθεον ὕμνον,
110 *Χερουβὶμ φωτοειδεῖς·*
«εὐλογημένη πέφυκεν
M *ἡ δόξα τοῦ Κυρίου*
πάντοτε ἐκ τοῦ τόπου αὐτοῦ».

Heirm. γ' EE 219, n. 314, Joannis **113** αὐτοῦ om. V

99-104 Ex. 36: 3 **108** Re. 1: 15 **109** Is. 6: 3 **111-113** Ez. 3: 12

www.tezaurliturgic.ro

Τοῦ φύλακος Ἰδιαιτάτην φυλακὴν
ἐκ σοῦ πλουτῶν, ὁδηγέ μου,
παρεμβάλλοντος, κυκλόθεν φρουροῦντος,
οἰκειοῦντος τοῖς καλοῖς,
τῶν ἐναντίων εἴργοντος,
εὔροιμι καὶ μεσίτην
ἐν τῷ καιρῷ σε τῆς κρίσεως.

F. 186^{v} **Θ.** Νοῦ τοῦ μεγάλου καὶ πατρὸς
ὁ πρὸ αἰώνων ἐκλάμψας,
νοερὰν καὶ λογικὴν πᾶσαν φύσιν
ὑποστήσας ὡς Θεός,
ἐν σοί, παρθένε, ὕστερον
νοῦν καὶ ψυχὴν καὶ σῶμα
ἀνθρώπινον προσελάβετο.

Κάθισμα. Ἦχος πλάγιος δ'.
Τὴν σοφίαν καὶ λόγον ἐν σῇ γαστρί

Σεραφὶμ ἐμπρησταὶ καὶ καθαρτικοί,
Χερουβὶμ φωτοδόχοι καὶ γνωστικοί,
θρόνοι, κυριότητες,
ἐξουσίαι, δυνάμεις,
ἀρχαί, ἀρχάγγελοι
καὶ ἄγγελοι ἅπαντες,
ὁ ἐκ Θεοῦ μοι φύλαξ,
οἱ θεῖοι ταξίαρχοι,
μέγιστοι προστάται,
Μιχαὴλ Γαβριήλ τε,
παντοίων κινδύνων με
καὶ μελλούσης κολάσεως
διασώσατε, δέομαι,
ἱκετεύοντες Χριστὸν τὸν Θεὸν
τῶν πταισμάτων ἄφεσιν δοθῆναι μοι·
μετ' αὐτὸν γὰρ εἰς ὑμᾶς
ὁλοψύχως προσέφυγον.

Heirm. cath. MR I 9 **117** τοῖς om. V **143** ὑμᾶς D: ἡμᾶς V

Ὠδὴ τετάρτη. Σύ μου, Χριστέ,

Ὡς ἀγαθὸς
καὶ πανσθενὴς ὑποστήσασθαι
ἐκ μὴ ὄντων
K βουληθεὶς τὰ σύμπαντα,
ὁ παντουργὸς πρῶτον ἐννοεῖ
τὰς ἄνω δυνάμεις
Y καὶ τὸ ἐννόημα ἔργον ἦν,
τῷ λόγῳ παραχρῆμα
συμπληρούμενον θείως
P καὶ τῷ πνεύματι πέρας δεχόμενον.

Διαπρεπῶς
I ἱεραρχίας ἐξάρχουσαι
τῆς δευτέρας,
θεῖαι κυριότητες,
O δουλοποιοῦ καὶ μειωτικῆς
ὑφέσεως πάσης
ἐλευθερίως ὑπέρκεισθε,
T τῆς ὄντως βασιλίδος
καὶ μιᾶς θεαρχίας
ἀκορέστως ἀεὶ ἐφιέμεναι.

H Ἀπολυθεὶς
ἐκ τῶν παθῶν, οἷς δεδούλωμαι,
πρὸς τὴν μίαν
T μόνην κυριότητα
καὶ τῶν ἁπάντων δημιουργὸν
βλέπειν ἀνενδότως
F. 187 ἀξιωθείην δεήσεσιν
Ω ὑμῶν ταῖς εὐπροσδέκτοις,
κυριότητες θεῖαι,
μετανοίᾳ ἀνθρώπων συγχαίρουσαι.

N Συναπτικῇ
ὁμοφροσύνῃ συνδούμενοι
τοῖς ἐσχάτοις

Heirm. δ' EE 219, n. 314, Joannis

www.tezaurliturgic.ro

οἱ μέσοι διάκοσμοι
τῶν θείων νόων, τὰς ἐκ Θεοῦ
διαδιδομένας
διὰ τῶν πρώτων λαμπρότητας
ἀφθόνῳ χορηγίᾳ,
μεταδόσει πλουσίᾳ
ἀναλόγως αὐτοῖς ἐπιπέμπουσιν.

Τοῦ φύλακος Ἐπιμελῶς
ἡ τοῦ ἀνθρώπου διάνοια
πρὸς τὰ φαῦλα
ῥέπει ἐκ νεότητος·
διὸ κἀμοῦ τὴν πρὸς τὸ κακὸν
ἀνένδοτον σχέσιν
ἀρχῆθεν ἐπικρατήσασαν
ἀνάστειλον, εἰς πράξεις
θεαρέστους ἐνάγων,
ὦ Θεοῦ παντοκράτορος ἄγγελε.

Θ. Νύμφην Θεοῦ
καὶ βασιλίδα τῆς κτίσεως
ἐγνωκώς σε,
πάναγνε, προσπίπτω σοι
καὶ ἐξαιτοῦμαι τῆς τῶν παθῶν
ἀτόπου κυρείας
ἐλεύθερόν με ἐργάσασθαι·
τῶν γὰρ κυριοτήτων
δεηθεὶς τῶν ἀΰλων
εὐμενῶν ἐπὶ τούτῳ τετύχηκα.

Ὠδὴ πέμπτη. Ἵνα τί με ἀπώσω

Νοῦς ὁ μέγας καὶ πρῶτος
νόας ὑπεστήσατο δευτέρους, πνεύματα

Heirm. ε′ EE 219, n. 314, Joannis

195 Ca. 1: 2

Δ λειτουργὰ καὶ φλόγας
ἐμπυρίους αὐτοῦ τοῖς προστάγμασιν,
Υ ὑπουργοῦντας φόβῳ καὶ ὑμνῳδοὺς τῆς ἀπροσίτου
καὶ ἐνδόξου αὐτοῦ κυριότητος.

Ν Ἐνεργεῖ τῇ δυνάμει
πρὸς τὸ θεομίμητον ἀνατεινόμεναι
Α καὶ πρὸς μηδεμίαν
τῶν ἐπιδιδομένων ἐλλάμψεων
ἀτονοῦσαι, κλήσει τῇ προσφυεῖ καὶ καταλλήλῳ
Μ τῆς ἀνδρείας ὑμῶν ὀνομάζεσθε.

F. 187ᵛ Ἀραρότως ἑστᾶναι
Ε ἐν ταῖς ἀρεταῖς καὶ τοῖς θείοις χαρίσμασι,
νοεραὶ δυνάμεις,
δυναμώσατε πᾶσαν τὴν κίνησιν
Ω ἐπὶ θεωρίας πνευματικὰς ὑψηλοτάτας
ἐν δυνάμει Θεοῦ με ποιούμενον.

Ν Μεγαλώνυμον κλῆσιν,
ἥπερ ὁ υἱὸς τοῦ Θεοῦ ὀνομάζεται,
κραταιαὶ δυνάμεις,
κληρωσάμεναι, πάσαις ταῖς τάξεσι
ταῖς ἀΰλοις ταύτης μεταδεδώκατε ἀφθόνως,
τὴν πρωτίστην μιμούμεναι δύναμιν.

Τοῦ φύλακος Ἀπορρήτῳ δυνάμει
πλῆθος μυριάριθμον ἄρδην συνέκοψεν
ὑπὸ μίαν νύκτα
στρατιᾶς Ἀσσυρίων εἷς ἄγγελος·
σὺ δέ, ὁδηγέ μου, τοὺς πολεμοῦντας με ἀφ᾽ ὕψους
νοητοὺς Ἀσσυρίους ἀφάνισον.

Θ. Ῥαθυμίᾳ ἀσχέτῳ
κατακεκλιμένος, εἰς θάνατον ὕπνωσα,
τῆς ψυχῆς δυνάμεις
παρεθεὶς καὶ τοὺς τόνους τοῦ σώματος,

207-208 He. 1:7 **224** 1 Co. 1:24 **229-232** IV Ki. 19: 35 **233** Ps. 55, 3 **236** Ps. 12: 3.

www.tezaurliturgic.ro

σὺ δέ, ἡ τεκοῦσα τὸν κραταιὸν δυνάστην μόνον,
τὴν ἐξ ὕψους με δύναμιν ἔνδυσον.

Ὠδὴ ἕκτη. Ἱλάσθητί μοι, σωτήρ

E Κατανοήσας ὑμᾶς
ὁ Ἰακὼβ ὡς ἐν κλίμακι
προβαίνοντας μυστικῶς,
τὴν τάξιν τὴν εὔρυθμον
Ξ *ὑμῶν ἐδιδάσκετο,*
φωτοφόροι νόες,
εἰς ἡμᾶς θεόθεν φθάνουσαν.

O Ὁμοταγεῖς ταῖς δυσὶ
μέσαις ὑπάρχουσαι τάξεσιν,
αἱ ἐξουσίαι σαφῶς
τῇ κλήσει τὴν ἔνθεον
Υ *αὐτεξουσιότητα*
παριστῶσι, μόνα
αἱρουμένην τὰ θειότατα.

Σ Σεσυλημένος αἰσχρῶς
τὸ τοῦ νοὸς αὐτεξούσιον,
ὑπέκυψα τοῖς αἰσχροῖς
λογισμοῖς καὶ πάθεσιν,
I *ἀλλ' ἐξουσιάσαι με*
F. 187v *τούτων, θεοφόροι*
ἐξουσίαι, ἀξιώσατε.

Ω Μονὰς ἁπλῆ καὶ τριὰς
ἡ θεία φύσις ὑπάρχουσα,
τριπλῆς τριάδος ὑμᾶς
ἀριθμῷ τετίμηκε,
N *φύσεις θεαυγέσταται,*

Heirm. ς′ EE 220, n. 315, Joannis

240 Ps. 92: 1 **242** Ge. 28: 12

κατὰ τὴν εἰκόνα
τῆς ἰδίας τελειότητος.

Τοῦ Ὅτε προστάξει Θεοῦ
φύλακος *τοῦ σκήνους τούτου χωρίζομαι,*
παράστηθι εὐμενὴς
προσβλέπων καὶ ἵλεων,
φύλαξ καὶ προστάτα μου,
τοὺς πικροὺς διώκων
τοῦ ἀέρος κοσμοκράτορας.

Θ. Ναὸς Θεοῦ νοερὸς
καὶ λογικὸς χρηματίσασα,
τῆς θείας δόξης αὐτοῦ
πεπλήρωσαι, πάναγνε,
καὶ μεγάλα δύνασαι·
τὴν γὰρ ἐξουσίαν
τῇ θελήσει φέρεις σύνδρομον.

Κοντάκιον. Ἦχος β′. *Τὰ ἄνω ζητῶν*

Προστάται θερμοὶ
καὶ φύλακες ἀκάματοι
τῶν πίστει ὑμᾶς
τιμώντων, διασώζετε
ἐκ παντὸς κινδύνου με,
πρὸς ζωὴν ἀρίστην ἰθύνοντες,
νοεροὶ Θεοῦ λειτουργοί,
τὴν δόξαν Κυρίου ἐποπτεύοντες.

Ὠδὴ ἑβδόμη. *Θεοῦ συγκατάβασιν*

Ἀεὶ ἐποπτεύοντες

Heirm. cont. MR I 17
Heirm. ζ′ EE 219, n. 314, Joanniis

275 Eph. 6: 12

www.tezaurliturgic.ro

A τὸ θεῖον πρόσωπον τοῦ ὑψίστου πατρός,
τὴν ἀσίγητον φόβῳ
δοξολογίαν ἀνακραυγάζετε
P καὶ μελῳδεῖτε
συντόνως καὶ λέγετε·
«εὐλογητὸς ὁ Θεὸς
εἰς τοὺς αἰῶνας, ἀμήν».

X Χορείαν στησάμενοι
τῷ σαρκωθέντι Θεῷ τὴν αἴνεσιν,
ἁγιώτατοι νόες,
ἀγαλλιώμενοι προσηνέγκατε,
Ω χαρὰν μεγάλην
εὐαγγελιζόμενοι
καὶ τὴν εἰρήνην τῇ γῇ
δι᾽ εὐδοκίας Θεοῦ.

N Ὁμοίωσιν ἄρρητον
πρὸς τὴν ἀρχίθεον φύσιν ἔχουσαι,
F. 188 τοῖς ἑξῆς ἀναλόγως
τὰς ἀρχικὰς ἐλλάμψεις πορθμεύετε,
ἱεραρχίας
τῆς τρίτης ἐξάρχουσαι,
φιλανθρωπόταται φύσεις,
θεοφόροι ἀρχαί.

Συγκάμψας τὰ γόνατα
δουλοπρεπῶς εἰς γῆν, προσεκύνησα
ὡς δεσποίνῃ τῇ Βαάλ
τὴν μοχθηρὰν τιμῶν ἡδυπάθειαν,
ἀλλ᾽ ἀναστῆναι
ποτὲ ἀξιώσατε
τὸ τοῦ νοὸς ἀρχικόν,
ὦ φωτοφόροι ἀρχαί.

315 συγκάμψας D: συγκόψας V

305-306 Lu. 2: 13-14 315-318 III Ki. 19: 18

Τοῦ φύλακος Ἐλαύνω σε πόρρωθεν
τὸν ἀντιλήπτορα καὶ προστάτην μου
τῇ πολλῇ βδελυγμίᾳ
τῶν πονηρῶν μου λόγων καὶ πράξεων·
τίς γὰρ πρὸς σκότος
τῷ φωτὶ συνέλευσις;
ἀλλ᾽ ἐπιστρέψαι ποτὲ
δός μοι Θεὸν δυσωπῶν.

Θ. Ὑμνοῦσι σε, δέσποινα,
τῶν ἀσωμάτων ἄϋλα στόματα
καὶ πυρίμορφοι γλῶσσαι
τῶν οὐρανίων ἀρχῶν γεραίρουσι·
τὸν γὰρ δεσπότην
αὐτῶν, εὐδοκήσαντα
σῶσαι τὸ γένος ἡμῶν,
ἄνθρωπον ἔδειξας.

Ὠδὴ ὀγδόη. Ἐπταπλασίως κάμινον

A Γεγωνοτέραν ἄραντες
τὴν φωνήν, εὐφημήσατε,
νόες φωταυγεῖς, τὸν φωτοδότην Κύριον,
ἰδόντες τὴν ἄφθονον
P τῆς φωτουργίας χύσιν αὐτοῦ,
πρὸς τὴν αἰσθητὴν ὑπερεκβλύσασαν κτίσιν,
ἡνίκα οἱ φωστῆρες
καὶ τῶν ἄστρων ὁ κύκλος
ἐγένοντο τῇ τούτου
X παντουργικῇ βουλήσει.

Ἐπὶ τῆς μέσης τάξεως
τῶν ἀρχῶν, ὦ ἀρχάγγελοι,
καὶ τῶν ἱερῶν ἀγγελικῶν δυνάμεων

Heirm. η′ EE 219, n. 314, Joannis 332 στόματα D: σώματα V

327-328 II Co. 6: 14

www.tezaurliturgic.ro

A εὐκόσμως ἱστάμενοι,
τῇ κοινωνίᾳ τούτων ἀμφοῖν
F. 189 διαπρεπεστάτην πεπλουτήκατε κλῆσιν,
ἀγγέλοις καὶ ἀνθρώποις
Γ ἐξηγούμενοι πάσης
σεπτῆς ἱεραρχίας
καὶ πρὸς Θεὸν ἀνόδου.

Γ Νύξ με συνέσχε πάντοθεν,
ἀγνοοῦντα τὸν δείλαιον·
φωτισμὸν γὰρ εἶναι τὴν τρυφὴν ὑπέλαβον·
ἐντεῦθεν ἠλλοίωμαι
E τὴν οὐ καλὴν ἀλλοίωσιν,
ἐν τοῖς σκοτεινοῖς παραφερόμενος ἔργοις·
φωτὸς ἀΰλου σκεύη,
τηλαυγέστατοι νόες,
Λ φωτίσατε εὐσπλάγχνως
ψυχὴν ἐσκοτισμένην.

Ἱερωτάτης φαλάγγος
Ω τῶν ἀγγέλων ἡγούμενοι,
θεῖοι ἀρχιστράτηγοι, τοῖς πρώτοις τάγμασιν
ἐνδόξως συντέταχθε,
τὴν ὑπερτάτην ἕνωσιν
N πρὸς τὰς θεουργοὺς ἐκφαντορίας αὐχοῦντες,
αὐτόπται τῶν ἀρρήτων,
Μιχαὴλ Γαβριήλ τε
καὶ πρῶτοι τῷ δεσπότῃ
προσφέροντες τὸν ὕμνον.

Τοῦ φύλακος Κατανοῶν ὀδύρομαι
τὴν αἰσχύνην τῶν ἔργων μου,
πῶς τῷ φοβερῷ καὶ ἀδεκάστῳ βήματι
γυμνὸς παραστήσομαι,
τῆς πονηρίας λόγους διδούς;

379 ὀδύρομαι D: ὀδύρωμαι V

362-363 Cfr. Ps. 76: 10

ἀλλ' ὁ ἐκ Θεοῦ μοι παραστάτης καὶ φύλαξ,
καὶ τότε πρόστηθί μου,
τῆς πικρᾶς καταδίκης
ὡς ἔχων παρρησίαν
μεγάλην ἐξαρπάζων.

Θ. Ὁ ἱερὸς ἀρχάγγελος
Γαβριὴλ ἀφικόμενος
ἐκ τῶν οὐρανῶν, τὸ ἱερὸν μυστήριον
τῆς θείας σαρκώσεως
εὐαγγελίζεταί σοι, σεμνή,
πρῶτος μυηθεὶς τὸ ἀπ' αἰώνων ἀγνώστως
ἀγγέλοις καὶ ἀνθρώποις
κεκρυμμένον· διό σοι
χαρᾷ συμμίκτῳ φόβῳ
τὸ «χαῖρε» προσεφώνει.

F. 189ᵛ **Ὠδὴ ἐνάτη. Ἔξέστη ἐπὶ τούτῳ ὁ οὐρανός**

A Συνάψας τὰς ἀπείρους πανστρατιὰς
τῶν ἁγίων ἀΰλων δυνάμεων
ὁ εὐκλεὴς
μέγας ἀρχιστράτηγος Μιχαήλ,
Γ «στῶμεν» καλῶς ἐβόησε,
«στῶμεν μετὰ φόβου δουλοπρεπῶς,
λατρεύοντες τῷ κτίστῃ·
ὁ πρὶν γὰρ ἑωσφόρος
Γ εἴδετε οἷον πτῶμα γέγονεν».

Ἐπέστησεν ὑμᾶς ὁ κοσμοποιὸς
θεῖος λόγος, πανάγιοι ἄγγελοι,
E τῇ τῶν ἐθνῶν
προνοητικῇ διεξαγωγῇ
καὶ τοῖς πιστοῖς ἐμέρισε

Heirm. θ' EE 220, n. 314, Joannis **399** ἀπείρους D: ἀΰλουςV **407** εἴδετε D: εἶδε V

389-398 Lu. 1: 26-38

www.tezaurliturgic.ro

καθ' ἕνα συνεῖναι καὶ συνεργεῖν
Λ τοῖς θείοις ἱεράρχαις,
καθαίρειν καὶ φωτίζειν
καὶ τελειοῦν διὰ τοῦ πνεύματος.

Ω Ξενίζεσθε τῇ ξένῃ τοῦ παντουργοῦ
τῆς στολῆς ὡραιότητι, ἄγγελοι,
εἰς οὐρανὸν
ἐπανερχομένου μετὰ σαρκὸς
Ν καὶ πρὸς ἀλλήλους, «τίς ἐστιν
ὁ παραγενόμενος ἐξ Ἐδώμ;»,
θαμβούμενοι βοᾶτε·
«ἐπάρατε τὰς πύλας·
τῆς δόξης γὰρ ὁ βασιλεύς ἐστιν».

Ἄϋλων ἀσωμάτων παρεμβολαί,
Σεραφίμ, Χερουβίμ, κυριότητες,
θρόνοι, ἀρχαί,
δυνάμεις, ἐξουσίαι πανευκλεεῖς,
ἀρχάγγελοι καὶ ἄγγελοι,
τὸν ἐκ διαθέσεως ἐντελοῦς
μικρόν μου τοῦτον ὕμνον
δεξάμενοι, μεγάλην
φιλοτιμήσασθε ἀντίδοσιν.

Τοῦ φύλακος Δυνάμει ἀηττήτῳ καὶ κραταιᾷ
τοὺς ἐπιτιθεμένους μοι σκέδασον,
ὁ ἀγαθὸς
ἐκ Θεοῦ μοι φύλαξ καὶ ὁδηγός,
τοὺς πονηροὺς ἀλάστορας
τοὺς ἀνθρωποκτόνους καὶ δυσμενεῖς,
εἰρήνην μοι βραβεύων
ἐν βίῳ τῷ παρόντι
καὶ σωτηρίαν ἐν τῷ μέλλοντι.

F. 190 **Θ.** Ὡς μήτηρ τοῦ ὑψίστου τὴν πρὸς αὐτὸν

419-420 Lu. 24: 50-53 **421-422** Is. 63: 1 **424-425** Ps. 23: 7-9, Is. 26: 2
442 Col. 3: 15

παρρησίαν ἀσύγκριτον ἔχουσα,
διὰ παντὸς
ὑπερεντυγχάνεις τῆς συγγενοῦς
ἀνθρώπων οἰκειότητος·
ὅθεν καὶ ἐμέ, τὸν ἐπὶ τῇ σῇ
θαρροῦντα προστασίᾳ,
τῆς δίκης τῆς μελλούσης,
θεομακάριστε, διάσωσον.

*

* *

www.tezaurliturgic.ro

Χ. Κανὼν παρακλητικός τε καὶ χαριστήριος εἰς τὴν ἁγίαν ὁσιομάρτυρα καὶ θαυματουργὸν Θεοδοσίαν ἐπὶ τῇ τῶν ποδῶν ἀναρρώσει τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Ἰωσήφ, μετρίως μὲν παρ' αὐτῆς δεδομένῃ, μείζονι δὲ καὶ τελείᾳ προσδοκωμένῃ, οὗ ἡ ἀκροστιχίς· Θευδοσίην ἰάτειραν λυσιμελέων ἀναμέλψω, Μάρκος.

F. 161

Ὠδὴ πρώτη. Ἦχος α'.
Σοῦ ἡ προπαιοῦχος δεξιά

Θεὸς ὁ δοτὴρ τῶν ἀγαθῶν
καὶ θησαυρὸς τῶν χαρίτων ἀκένωτος
δόσιν ἀξιόθεον,
Θεοδοσία, τοῖς πιστοῖς σε δέδωκε,
δόσει ἰαμάτων
παντοίας νόσους καθαίρουσαν.

Ἐν πόνοις τὸ πρὶν ἀσκητικοῖς
τὴν τῆς σαρκός σου στολήν, καλλιπάρθενε,
στύψασα, τὸ δεύτερον
μαρτυρικοῖς ἐν αἵμασιν ἐφοίνιξας·
ὅθεν σωτηρίου
ἡμῖν ἱμάτιον πρόκειται.

Ὑμνεῖν σου βουλόμενος ἀεὶ
τὴν πελαγίζουσαν χάριν τὰ θαύματα,
δέομαι τοὺς πόδας μου,
Θεοδοσία, στῆσον ἐν εὐθύτητι,
ὅπως ἀναγγείλῃ
τὸ στόμα μου τὰς αἰνέσεις σου.

Δόξα τῷ πατρὶ καὶ τῷ υἱῷ
καὶ τῷ ἁγίῳ βοήσωμεν πνεύματι,
τῷ ὑπερδοξάσαντι
Θεοδοσίαν τοῖς ἀπείροις θαύμασιν,

Heirm. α' EE 1, n. 1, Joannis

11-12 Is. 61: 10 **16** Ps. 25: 12 **17-18** Ps. 50: 15

ἢ τὸν ποιμενάρχην
ἡμῖν ἀρτίπουν ἀπέδωκεν.

Θ. Ὁ μέγας τῷ ὄντι βασιλεὺς
τὴν ἡμετέραν μορφὴν νυμφευσάμενος,
ἐκ σοῦ, θεονύμφευτε,
χορὸν παρθένων ἤνεγκεν ὀπίσω σου,
ὧν Θεοδοσία
διπλαῖς ἐξάρχει ταῖς χάρισιν.

Ὠδὴ τρίτη. *Στερεωθήτω ἡ καρδία μου*

Στερεωθείσης τῆς καρδίας σου
ἐν Κυρίῳ, μάρτυς πανεύφημε,
F. 161v τὴν ὑπερήφανον ὀφρὺν
τοῦ τυράννου κατήνεγκας,
ὅθεν πάντῃ παρειμένας μου τὰς βάσεις στερέωσον.

Ἵνα γνωρίσῃ τῆς χρηστότητος
ἑαυτοῦ τὸν πλοῦτον ὁ Κύριος,
σκεῦος ἐλέους χορηγόν,
ἰατρεῖον ἀδάπανον
ἐδωρήσατο ἡμῖν, ὁσιομάρτυς, τὸ σῶμα σου.

Ἡ ἐφιζάνουσα τοῖς μέλεσι
τοῖς σεπτοῖς σου χάρις τοῦ πνεύματος
ὀσμὴν ἡδεῖαν ἀποπνεῖ,
ῥῶσιν ἄφθονον δίδωσι,
παραλύτους ἐπισφίγγει καὶ χωλοὺς ἀναρρώνυσιν.

Ναῷ τῷ θείῳ προσιόντα σου
θερμοτάτῃ πίστει, πανεύφημε,
τὸν ποιμενάρχην τὸν κλεινὸν
τῆς μεγάλης σου πόλεως

Heirm. γ' EE 12, n. 16, Andreae

31-32 I Ki. 2: 1 **36-38** Ro. 2: 4; Ro. 9: 2

www.tezaurliturgic.ro

δεῖξον ὅλον ὑγιῆ καὶ τοῖς ποθοῦσιν ἀπόδος ἡμῖν.

Θ. Ἰδίῳ αἵματι φοινίξασα
τὴν τῆς παρθενίας ὡραίαν στολήν,
Θεοδοσία ἡ σεπτὴ
προσηνέχθη ὀπίσω σου
τῷ μεγάλῳ βασιλεῖ καὶ τῷ σῷ υἱῷ, μητροπάρθενε.

Ὠδὴ τετάρτη. Ὅρος σε τῇ χάριτι τῇ θείᾳ κατάσκιον

Ἄρρενα τὸν νοῦν ἐν γυναικείῳ τῷ σώματι
καὶ τὴν καρδίαν εὐθαρσῆ
πεπλουτηκυῖα, τὸν θρασὺν
ὑβριστὴν κατέρραξας
τῆς τοῦ Χριστοῦ εἰκόνος, ἧς ὑπερήθλησας,
ἐμὲ δὲ ταύτην τιμῶντα ἀνόρθωσον.

Τάγμασι παρθένων καὶ μαρτύρων ἐμπρέπουσα
καὶ παρεστῶσα τῷ Θεῷ,
θεοπαρόχους δωρεὰς
τῶν θείων ἰάσεων
θεοπρεπῶς τοῖς προσιοῦσι κατάπεμψον,
Θεοδοσία, τῷ θείῳ λειψάνῳ σου.

Ἔρωτι τῷ θείῳ τετρωμένη, ὀπίσω σου
διακαῶς ἀκολουθεῖν
F. 162 εἰς τὴν τοῦ μύρου σου ὀσμήν,
Χριστέ, ἠρετίσατο
Θεοδοσία ἡ παρθένος καὶ μάρτυς σου,
διὸ ἀξίως αὐτὴν ἐθαυμάστωσας.

Ἵνα τῷ λαῷ σου καὶ τῇ πόλει ἱλάσκηται
τὸν ἐλεήμονα Θεὸν
ἁγναῖς θυσίαις καὶ εὐχαῖς,
δεῖξον ὑγιαίνοντα

Heirm. δ′ EE 1, n. 1, Joannis

54 Ca. 1: 4 **68** Ca. 2: 5; 5: 8 **70** Ca.1: 4

καὶ τοῖς ποσὶν ὁλοτελῶς ἐπιβαίνοντα
τὸν ἱεράρχην τὸν μέγαν, ἀοίδιμε.

Θ. Ῥέουσι χρηστότητος ἀένναοι ῥύακες
καὶ συμπαθείας ὀχετοὶ
διηνεκεῖς ἐκ σοῦ, ἁγνή·
Θεὸν γὰρ ἐγέννησας,
τὸν φυσικῇ καὶ ἀϊδίῳ χρηστότητι
τοῖς δεομένοις ἀεὶ ἐπινεύοντα.

Ὠδὴ πέμπτη. Ὁ φωτίσας

Ἀναστρέψας
τὴν σὴν δέρην ἀγρίως ὁ φόνιος,
εἰσελαύνει
κριοῦ κέρας αὐτοῦ που προκείμενον,
ἀλλ᾽ ἡμῖν γεγένηται .
τῆς Ἀμαλθείας τοῦτο κέρας
καὶ δι᾽ αὐτοῦ πλουτιζόμεθα.

Νέαν ἄλλην
κολυμβήθραν πεντάστωον ἔχομεν
τὸν ναόν σου,
οὐ καθ᾽ ἕνα, πολλοὺς δὲ ἰώμενον,
ὅθεν κἀμοὶ δώρησαι
τὴν χάριν, μάρτυς, τῆς ὑγείας
καὶ παρειμένον ἀνόρθωσον.

Λελυμένην
τὴν ἰσχὺν τῶν μελῶν μου στερέωσον,
ἡ τὴν πλάνην
τῆς ἀθέσμου αἱρέσεως λύσασα,
καὶ τοῖς σοῖς παθήμασι
τὰ πάθη πάντα τῆς σαρκός μου
καὶ τῆς ψυχῆς ἀποδίωξον.

Heirm. ε′ EE 1, n. 1, Joannis

91 Cfr. Jb. 42: 14 **93-96** Jno. 5: 2- 4

www.tezaurliturgic.ro

Ὑπερτάτην
μαρτυρεῖ σοι τὴν θείαν ἐνέργειαν
ἱεράρχης
ὁ κλεινὸς τῆς ἐνδόξου πατρίδος σου,
ὃν ἀρτίπουν ἔδειξας,
Θεοδοσία, παραδόξως
τὰ χαριστήρια θύοντα.

Θ. Σὲ λιμένα
σωτηρίας καὶ τεῖχος ἀκράδαντον,
θεοτόκε,
οἱ πιστοὶ κεκτημένοι σωζόμεθα
F. 162v καὶ σὺν σοὶ τὴν μάρτυρα
Θεοδοσίαν εὐμοιροῦμεν,
ὑπὲρ ἡμῶν συμπρεσβεύουσαν.

Ὠδὴ ἕκτη. Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος

Ἰδοῦσα μου τὴν κάκωσιν, πανεύφημε,
τοῦ ταλαιπώρου σώματος,
τοῦ χυμοῖς συμπεπλεγμένου ῥυπαροῖς
καὶ ταῖς ἐναντίαις μαχομένου ῥοπαῖς,
ἐπισκοπῇ
τοῦ σοῦ ἐλέους δός μοι τὴν ἴασιν.

Μακρύνασα τὸν νοῦν παντοίας σχέσεως
τοῦ κόσμου καὶ ἐφέσεως,
συνηρμόσθης τῷ νυμφίῳ τῶν ψυχῶν
δι᾽ ἁγιωσύνης καὶ ἀθλήσεως,
παρ᾽ οὗ καὶ νῦν
τὴν τῶν θαυμάτων χάριν πεπλούτηκας.

Ἐμάστιξεν ὁ ἀπηνής σε τύραννος,
δημίους περιέστησε

Heirm. ς′ EE 1, n. 1, Joannis

114-115 OM, 586

καὶ βαθείας ἀνεστόμωσε πληγάς
καὶ κρουνοὺς αἱμάτων ἐπεξέχεεν,
ἀλλὰ πηγαὶ
θαυμάτων οὗτοι ἡμῖν γεγόνασιν.

Λαός σου πιστῶς σε λιτανεύομεν,
τὰ πρόβατα τῆς μάνδρας σου
τῆς μεγάλης ταύτης πόλεως, σεμνή,
ῥῶσον τὸν ποιμένα καὶ ἀπόδος ἡμῖν,
ἵνα εὐχαῖς
ὁσίαις πόρρω τοὺς λύκους ἀποσοβῇ.

Θ. Ἐλέησον, ἐλέησον, ἐλέησον,
ἐλέησόν με, Κύριε,
τοῦ ἐλέους ὁ Θεὸς ταῖς ἱεραῖς
πρεσβείαις τῆς σῆς μητρός, φιλάνθρωπε,
καὶ σὺν αὐτῇ
Θεοδοσίας τῆς ἀθλοφόρου σου.

Ὠδὴ ἑβδόμη. Σὲ νοητὴν

Ὢ τῆς πολλῆς
τῶν ἁγίων χάριτος,
ὦ τεραστίων ἐκπλαγῶν,
ὅτι σῶμα νεκρὸν ξηρὸν
βρύει τὰ ἰάματα,
λύει τὰ νοσήματα
καὶ φυγαδεύει παθήματα
Θεοδοσίας τῆς θείας, Χριστοῦ παρθενομάρτυρος.

F. 163 Ναὸς ὁ σὸς
ἰατρεῖον ἄμισθον,
ἐν ᾧ τυφλοὶ βλέπουσι φῶς
καὶ βαδίζουσιν οἱ χωλοὶ
καὶ κωφοὶ ἀκούουσι
καὶ λαλοῦσιν ἄλαλοι

Heirm. ζ′ EE 1, n. 1, Joannis

www.tezaurliturgic.ro

καὶ παρειμένοι συσφίγγονται,
Θεοδοσία, μαρτύρων Χριστοῦ τὸ ἐγκαλλώπισμα.

Ἀδυνατῶ
στῆναι καὶ προσεύξασθαι
τῇ σωτηρίῳ σου σορῷ,
βασταζόμενος δὲ τεθεὶς
φόρτος ὥσπερ ἄψυχος
καὶ προκυλινδούμενος
τῶν σῶν ποδῶν, ἱκετεύω σε,
Θεοδοσία, τοὺς πόδας μου στῆσον ἐν εὐθύτητι.

Νέαν ἡμῖν
χάριν ἐπρυτάνευσεν
ἡ ἀθλοφόρος τοῦ Χριστοῦ
τὸν ποιμένα γὰρ τὸν καλόν,
τοῖς ποσὶν ἀκίνητον
χρόνιον γενόμενον,
βραχεῖ τῷ χρόνῳ ἀνέρρωσε
καὶ δι' αὐτοῦ τὴν πατρίδα χαρᾶς ὅλην ἐπλήρωσεν.

Θ. Ἆσμα καινὸν
τῷ Κυρίῳ ἄσωμεν,
ὅτι τὴν ποίμνην ἑαυτοῦ
καὶ τὴν πόλιν τὴν εὐκλεῆ
ταύτην παραδέδωκε
φυλάττειν ἀλώβητον
Θεοδοσίᾳ τῇ μάρτυρι
καὶ πρὸ αὐτῆς τῇ ἰδίᾳ μητρὶ ὁ ὑπεράγαθος.

Ὠδὴ ὀγδόη. Ἐν καμίνῳ παῖδες Ἰσραήλ

Μακαρίζομέν σε οἱ τῆς σῆς
οἰκήτορες πατρίδος,

Heirm. η′ EE 1, n. 1, Joannis

173 Ps. 25: 12 **177** Jno. 10: 11 **182-183** Ps. 95: 1

εἰς πᾶσαν τὴν οἰκουμένην
τὰ θαυμάσια τὰ σὰ
περιαγγελόμενα
καθορῶντες
καὶ πανταχόθεν συρρέοντα τὰ πλήθη
τῶν προσδεομένων τῆς σῆς ἐπικουρίας.

Ἐλαίῳ πλουσίῳ τὴν φαιδρὰν
ἀνάψασα λαμπάδα
τῆς ἄκρας ἁγιωσύνης,
τῷ νυμφίῳ σου Χριστῷ
εἰς τὰ ἐπουράνια
συνεισῆλθες
καὶ παρ' αὐτοῦ τοῖς νοσοῦσιν ἐπιστάζεις
ἔλεος καὶ ῥῶσιν ὡς ἐκ πηγῆς ἀφθόνου.

F: 163ᵛ Λελυμένος ἄρθρα τῶν ποδῶν,
τῇ γῇ προσερριμμένος,
οὐκ ἄργυρον, οὐ χρυσίον
ἐρωτῶ λαβεῖν ἐκ σοῦ,
παρθένε πανεύφημε,
ὃ δὲ ἔχεις,
τοῦτο μοι δός, ἐν ὀνόματι Κυρίου
«ἔγειραι», μοι φράσον εὐτόνως, «περιπάτει».

Ψάλλομέν σοι ὕμνους ἐμμελεῖς,
σεμνή, χαριστηρίους,
τὸν μέγαν ἀρχιερέα,
τὸν ποιμένα τὸν καλὸν
ὁρῶντες βαδίζοντα
παραδόξως·
ἀλλὰ τελείαν αὐτῷ τὴν εὐρωστίαν
δός, ὡσὰν καὶ ἔτι προθύμως σε ὑμνοῦμεν.

Θ. Ὡς τεκοῦσα πάντων τῶν καλῶν
τὸ πλήρωμα, παρθένε,
ταῖς θείαις καλλοποιίαις

198-203 Mat. 25: 4-8 **213** Mat. 9: 5 **217** Jno. 10: 11

www.tezaurliturgic.ro

καλλωπίζεις τοὺς εἰς σὲ
πίστει καταφεύγοντας
καὶ τῇ θείᾳ
Θεοδοσίᾳ καλλύνειν ἐπιτρέπεις
τοὺς ἐκ νοσημάτων σφοδρῶν κεκακωμένους.

Ὠδὴ ἐνάτη. *Τύπον τῆς ἁγνῆς λοχείας σου*

Μέγας ἀληθῶς ὁ Κύριος
καὶ ἡ ἰσχὺς αὐτοῦ μεγάλη καὶ σύνεσις,
ὅτι γύναιον ἐν ἀσθενείᾳ τοῦ σώματος
τὸν ἀρχέκακον ὄφιν κατέρραξε
καὶ τοὺς κατερραγμένους
ἐπανορθοῦν χάριν ἐδέξατο.

Αἴρων ὀφθαλμοὺς τοῦ σώματος
καὶ τῆς ψυχῆς πρὸς σέ, τὸν μόνον φιλάνθρωπον,
τὸν ἀριστοτέχνην ἰατρὸν τῶν ψυχῶν ἡμῶν
καὶ σωμάτων, αἰτοῦμαι τὴν ἴασιν
πρεσβείαις τῆς ὁσίας
καὶ πανενδόξου ἀθλοφόρου σου.

Ῥάβδῳ τῆς σῆς ἀντιλήψεως
καὶ βακτηρίᾳ ἰσχυρᾷ παρακάλεσον
τὸ συντεθλασμένον καὶ σαθρόν μου σωμάτιον
F. 164 καὶ τοὺς πόδας μου στήριξον, ἔνδοξε,
καὶ εἰς ὁδὸν εἰρήνης
βαδίζειν τούτους ἐνδυνάμωσον.

Κράτος τῇ σῇ πόλει δώρησαι,
τοῖς βασιλεῦσι τὴν ὑγείαν συντήρησον,
τοὺς ἐχθροὺς αὐτῶν ὑπὸ τοὺς πόδας ὑπόταξον,
τὰ πολέμια ἔθνη ταπείνωσον,

Heirm. θ′ EE 1, n. 1, Joannis

230-231 Ps. 146: 7 **234-235** Ps. 144: 14 **242-243** Ps. 22: 4
246 Lu. 1: 7-9 **248-253** GE 726, 733

εἰρήνην τῷ λαῷ σου
καὶ εὐθηνίαν ἐπιμέτρησον.

Ὅλον ὑγιῆ ἀπέργασαι
τὸν τῆς πατρίδος ἱερὸν ἀρχιποίμενα,
τὸν πραότατον καὶ συμπαθῆ καὶ φιλόπτωχον καὶ πατέρα
κοινὸν τοῦ πληρώματος
παντὸς τοῦ χριστωνύμου,
Θεοδοσία παμμακάριστε.

Θ. Στῆσον ἐπὶ πέτραν, ἄχραντε,
τῆς σωτηρίας τοὺς ἐμοὺς πόδας δέομαι
καὶ τὰ διαβήματά μου πάντα κατεύθυνον
εἰς τὸ θεῖον τοῦ τόκου σου λόγιον,
ἵνα σε μεγαλύνω
ἀκαταπαύστως, παμμακάριστε.

*

* *

260-262 Ps. 39: 2

www.tezaurliturgic.ro

XI. Ἀκολουθία εὐχαριστήριος εἰς τὴν αὐτὴν ἁγίαν ὁσιομάρτυρα Θεοδοσίαν ἐπὶ τῇ παρ' αὐτῆς θαυματουργηθείσῃ τῶν ποδῶν ἀναρρώσει τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Ἰωσήφ.

Στιχηρά. Ἦχος δ'. Ὁ ἐξ ὑψίστου κληθείς οὐκ ἀπ' ἀνθρώπων

F. 164 Ἡ φερωνύμως Θεοῦ κληθεῖσα δόσις,
ὅτε τὸ οὐράνιον πῦρ ἐπεφοίτησε
τῇ φωτοφόρῳ καρδίᾳ σου,
τὴν πρὸς τὸν κόσμον
ἐξαναλίσκον σχέσιν τῆς φύσεως,
τότε, παμμακάριστε, τὸν τοῦ Κυρίου σταυρὸν
προθύμως ἄρασα ἔδραμες,
ἀκολουθοῦσα
F. 164v τῷ διὰ σὲ σταυρὸν ὑπομείναντι,
καὶ τοῖς ἰδρῶσι
τῆς ἀσκήσεως λουσαμένη, τὸ σῶμα τὸ ἄσπιλον
θείου μύρου δοχεῖον
καὶ θαυμάτων κρήνην ἔδειξας.

Τῆς εὐσεβείας τῷ ζήλῳ πυρωθεῖσα,
τυράννου πυρίπνοουν ὁρμὴν ἐφαύλισας
καὶ τὸν ἐκείνου σπαθάριον
κατατολμῶντα
τῆς τοῦ Χριστοῦ εἰκόνος κατέρραξας·
ἐντεῦθεν ἐχώρησας διὰ βασάνων πολλῶν
καὶ τελευταῖον τῷ κέρατι
ὥσπερ ἀρνίον
σφαγιασθεῖσα, θῦμα εὐπρόσδεκτον
τῷ ζωοδότῃ
προσενήνεξαι εἰς ὀσμὴν εὐωδίας Χριστῷ τῷ Θεῷ,
ἱλασμὸν τῶν πταισμάτων
τοῖς τιμῶσι σε παρέχουσα.

Heirm. stich. HR 166

7-8 Mat. 16: 24 24 ὀσμὴν εὐωδίας: Cfr. e.g. Ex. 29: 18

Τῶν ἐν διπλῷ σου ἀγώνων τὰ βραβεῖα
διπλᾶ χαριζόμενος ὁ μεγαλόδωρος
καὶ τὸ πανάγιον σῶμα σου
ὑπερδοξάζει
τοῖς τῶν θαυμάτων θείοις χαρίσμασιν·
ὅθεν, παναοίδιμε, τῆς ἐκκλησίας αὐτοῦ
τὸν ἱερὸν ἀρχιποίμενα
συμποδισθέντα
χαλεπωτάτῃ νόσῳ παρέσεως
ὡς εὐεργέτης
ἀνωρθώσατο διὰ τῶν σῶν πρεσβειῶν δυσωπούμενος·
ἀλλὰ φύλαττε ἔτι
τὴν ζωὴν αὐτῷ μακραίωνα.

Ἕτερα. Ἦχος πλάγιος β'. Ὅλην ἀποθέμενοι

Ὅλην ἀποστήσασα
τῆς ὑλικῆς προσπαθείας,
τὴν ψυχήν, πανεύφημε,
πρὸς τὴν ὑπερκόσμιον τελειότητα
καθαρῶς ὕψωσας
καὶ τὸν νοῦν ἄχραντον
πρὸς τὸ κάλλος τὸ ἀρχέτυπον
ἐναπερείσασα
καὶ θεοειδὴς χρηματίσασα,
διέδωκας τῷ σώματι

Heirm. stich. alterorum ER 281

32 παναοίδιμε scripsi: παναοίδιμε με D vv. 32-39 Je delevit et in marg. cod. D hoc troparium scripsit: τοὺς παρειμένους δεινῶς / καὶ πάσαις νόσοις παλαίοντας / ἐπιρρωννύεις / τῇ πρὸς αὐτὸν θερμῇ μεσιτείᾳ σου / καὶ ὀρθοδόξους / ἐκ κινδύνων καὶ χαλεπῶν προσβολῶν διασώζεις ἀεὶ / καὶ ἡμᾶς τοὺς ὑμνοῦντας / τὴν σὴν μνήμην περιφύλαττε

28 Eph. 5: 2-3

www.tezaurliturgic.ro

F. 165

τὸν ἁγιασμὸν καὶ τὴν ἔλλαμψιν·
ὅθεν ἐρασθείς σου
τοῦ κάλλους ὁ δεσπότης Ἰησοῦς
εἰς κοινωνίαν προσέλαβε
τῆς αὐτοῦ ἀθλήσεως.

Θεόθεν δοθεῖσαν σοι
τὴν τῆς εἰκόνος ἀξίαν
ἀκραιφνῆ φυλάττουσα,
πρὸς τὸ καθ' ὁμοίωσιν ἀνελήλυθας,
ἐναργεῖς φέρουσα
χαρακτῆρας θείους·
διὰ τοῦτο τοὺς ὑβρίζοντας
τὴν τοῦ δεσπότου σου
τιμίαν εἰκόνα κατήσχυνας
καὶ αἵματι ἀθλήσεως
ἐπιρραντισθεῖσα φαιδρότερον
ἔλαμψας· ἐντεῦθεν
καὶ χάριν ἰαμάτων δαψιλῆ
τῶν σῶν ἀγώνων ἀντίδοσιν
ἔσχες εὐκλεέστατα.

Συντρέχουσι πάντοθεν
τῶν ὀρθοδόξων τὰ πλήθη,
ποταμῶν ἀέννααα
ῥεύματα μιμούμενοι, θεοδόξαστε,
τὴν σεπτὴν λάρνακα,
τὴν τὸ σὸν ἔχουσαν
ζωηφόρον καὶ καλλίνικον
σῶμα, προσπτύξασθαι
καὶ τῆς ἐξ αὐτοῦ θείας χάριτος
ἀφθόνου τῶν ἰάσεων

51-52 Wi. 8: 2 58 Ge. 1: 26

καὶ τῶν θαυμασίων ἀρύσασθαι·
οὗς προσδεχομένη
τυχόντας, ὧν ἐδέοντο πιστῶς,
πλήρεις χαρᾶς καὶ αἰνέσεως
ἐκπέμπεις, ἀοίδιμε.

Μέγα καὶ παράδοξον
ὁρῶντες σήμερον θαῦμα
διὰ σοῦ γενόμενον,
εὐχαρίστοις ὕμνοις σε μεγαλύνομεν·
τῆς γὰρ σῆς πόλεως
τὸν κλεινὸν ποιμένα
καὶ προστάτην τοῦ πληρώματος
τῶν ὀρθοδόξων πιστῶν,
ὄντα πολὺν χρόνον ἀδύνατον
τοὺς πόδας καὶ ἀκίνητον,
πίστει προσπεσόντα ἀνώρθωσας,
ὦ θείας ἰσχύος,
καὶ πνεῦμα ζωτικὸν καὶ ἐνεργὲς
τοῖς νεκρωθεῖσιν ἐνέπνευσας
μέλεσι, πανεύφημε.

F. 165

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Ὠδὴν χαριστήριον ᾄδω σοι, μάρτυς, ὁ μοναχὸς Μάρκος.

Ὠδὴ πρώτη. Ἦχος α'. Ὠδὴν ἐπινίκιον

Ὠδὴν χαριστήριον
ᾄδω σοι, μάρτυς,
ὅτι παρειμένον με

Heirm. α' EE 11, n. 15, Andreae
vv. 88-102 ἄφες in marg. scriptum invenitur

www.tezaurliturgic.ro

καὶ νεκρὸν ἔμψυχον,
προσερριμμένον οἰκτρῶς
ἀνώρθωσας ὡς συμπαθής,
ἵλεων βλέψασα.

Δοξάζειν ὁ Κύριος
ἐπηγγελμένος
τοὺς αὐτὸν δοξάζοντας,
ἐνεργῶς ἔδειξεν,
ὃ ἐπηγγείλατο,
πηγὴν ἰάσεων ἡμῖν
σὲ δωρησάμενος.

Ἡ μάρτυς ἡ ἔνδοξος,
τῆς βασιλίδος
τὸ θεῖον ἀγλάϊσμα,
τὴν αὐτῆς πρόνοιαν
ἐνδεικνυμένη ἀεί,
τερατουργήμασι καινοῖς
ἀναλαμβάνει ἡμᾶς.

Ναῷ τῷ κατέχοντι
τὴν σεβασμίαν
σορὸν τῶν λειψάνων σου
προσελθών, ἔνδοξε,
ὁ ποιμενάρχης ἡμῶν
ἴασιν εὗρε θαυμαστήν, τῇ πίστει σύνδρομον.

Θ. Χαρᾶς ἡμῖν πρόξενος
ὡς δεξαμένη
χαρὰν τὴν ἀΐδιον
ἀληθῶς γέγονας,
εὐλογημένη ἁγνή,
διὸ συμφώνως ἐν χαρᾷ
σὲ μεγαλύνομεν.

107-109 I Ki. 2: 30

Ὠδὴ τρίτη. Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες

Ἄσω τῷ Κυρίῳ πάντοτε ἔλεον καὶ κρίσιν,
θύσω τῷ Θεῷ μου αἰνέσεως θυσίαν,
ὅτι εἰσήκουσέ μου
φωνῆς τῆς δεήσεως
διὰ τῆς μάρτυρος αὐτοῦ
καὶ παρειμένον ἀνωρθώσατο.

Ῥέων ὁ τῆς θείας χάριτος ποταμὸς πλουσίως,
ἄρδει τῇ πλημμύρᾳ τῶν ξένων ἰαμάτων
τὰ πέρατα τοῦ κόσμου
καὶ πίνειν προτρέπεται
τοὺς φλεγομένους ἐν δεινοῖς
ὡς ἐκ πηγῆς τῆς σῆς τιμίας σοροῦ.

F. 166 Ἵνα τὴν ψυχὴν πανάμωμον Θεῷ παραστήσῃς,
δέδωκας τὸ σῶμα ταῖς χαλεπαῖς αἰκίαις
καὶ τέλει μαρτυρίου
τὸν βίον ἐκόσμησας·
διὸ σωμάτων καὶ ψυχῶν
τὴν θεραπείαν ἐμπεπίστευσαι.

Στῶμεν ἐν τῷ οἴκῳ σήμερον, ἐν ᾧ ἡ μεγάλη
μάρτυς τοῦ Κυρίου εὐδόκησεν οἰκῆσαι,
καὶ ταύτην εὐχαρίστοις
φωναῖς εὐφημήσωμεν,
τὸν ἀρχιποίμενα ἡμῶν
ἰασαμένην θείῳ νεύματι.

Θ. Τάξεις ἀσωμάτων, δέσποινα, καὶ ἀνθρώπων γένη
μίαν συμφωνίαν στησάμενοι, Θεοῦ σε
δοξάζομεν, μητέρα,
σὺν σοὶ καὶ τὴν μάρτυρα

Heirm. γ′ EE 11, n. 15, Andreae

134-135 Ps. 100: 1; Ps. 49: 14 **136-137** Ps. 27: 2 **152** Cfr. Ps. 133: 1

www.tezaurliturgic.ro

Θεοδοσίαν ἐν ᾠδαῖς
ὡς εὐεργέτιν μεγαλύνοντες.

Ὠδὴ τετάρτη. Ἐν πνεύματι προβλέπων

Ἡ νύμφη τοῦ Κυρίου
καὶ μάρτυς τῶν αὐτοῦ
παθημάτων, μέλαινα
ὑπάρχω καὶ καλή,
κατὰ τὸ ᾄσμα
φησίν· ὅθεν ὁ νυμφίος
ἠγάπησέ με
καὶ ἐστήρισεν ἐν μύροις
καὶ θαυματουργεῖν ἐδωρήσατο.

Ῥευμάτων ἐπηρείᾳ
τοὺς πόδας παρεθεὶς
καὶ σχεδὸν ἀκίνητος
ὡς λίθος γεγονώς,
ἐπὶ τῇ πίστει
τῶν μεγάλων σου θαυμάτων
ἔστηκα μέσος
τῶν πρὸ τούτου βασταζόντων
καὶ περιπατῶ μεγαλύνων σε.

Ἰδίας ἀκρασίας
τὸ πρόκριμα κοινὸν
ἡ προμήτωρ ἔνεγκεν,
αὐτὴ δὲ τῷ Χριστῷ
δι' ἐγκρατείας
καὶ ἁγνείας ἀκροτάτης
μέχρι θανάτου
ὑπακούσασα, προθύμως
κοινωνεῖς ἡμῖν τῶν χαρίτων αὐτοῦ.

Heirm. δ' EE 11, n. 15, Andreae

166-167 Ca. 1: 5 **171** Ca. 2: 5

Ὁ μέγας ἱεράρχης,
ἡ θεία κορυφὴ
τῶν ποιμένων ἅπασι
γνωρίζει θαυμαστῶς
τὸ μεγαλεῖον
τῆς ξένης θαυματουργίας,
ἣν ἐπεδείξω
εἰς αὐτόν, μεγαλομάρτυς,
ῥώσασα τὸν πρώην ἀκίνητον.

F. 166^{v} Ναὲ Θεοῦ τοῦ ζῶντος,
ὑπέρτιμε σκηνή,
κιβωτὲ τῆς χάριτος,
λυχνία χρυσαυγής,
ἁγίασόν μου
τὴν ψυχὴν καὶ δεῖξον οἶκον
ἡτοιμασμένον
τῷ υἱῷ σου καὶ δεσπότῃ
εἰς ὑποδοχήν, ὡς ὑπέσχετο.

Ὠδὴ πέμπτη. Τὴν στὴν εἰρήνην δὸς ἡμῖν

Ἀνῆλθες εἰς οὐράνια
σκηνώματα λαμπρῶς,
νύμφη τοῦ Χριστοῦ πανακήρατος,
ἐστολισμένη θείαις χάρισι
καὶ ἰαμάτων μύρα
προχέουσα πλουσίως.

Δεσμὰ ποδῶν παρέσεως
λυθεὶς διὰ τῆς σῆς,
μάρτυς, πρὸς Θεὸν οἰκειότητος,
ἀνακηρύττω σου τὸ ἔλεος

Heirm. ε' EE 11, n. 15, Andreae

200 III Ki. 6: 3-36 **201** Ex. 26: 1 sqq. **202** Ex. 38: 1-8 **203** Ex. 38: 13-17

www.tezaurliturgic.ro

καὶ διαγγέλλω πᾶσι
τὴν σὴν θαυματουργίαν.

Ὡς ἔχουσα τὸ πέλαγος
τῶν θείων οἰκτιρμῶν,
μάρτυς, ἐξ αὐτοῦ τὰ ἰάματα
τοῖς προϊοῦσι τῷ λειψάνῳ σου
χύδην ἐπομβρίζεις
εἰς δόξαν τοῦ Κυρίου.

Στεφάνοις ἐγκωμίων σε
κοσμεῖ περιφανῶς,
ξένης ἀπολαύσας τῆς χάριτος
τῶν σῶν θαυμάτων ὁ πραότατος
ποιμὴν καὶ προστάτης
τῆς σῆς κληρονομίας.

Θ. Ὁ πρότερον τὸν ἄνθρωπον
θανάτῳ παραδοὺς
διὰ γυναικός, νῦν ἐμπνίγεται
σεπτῶν γυναίων θείοις αἵμασι,
ἀφ' οὗ Χριστὸς ἐτέχθη
ἐκ σοῦ, θεοκυῆτορ.

Ὠδὴ ἕκτη. Τὸν προφήτην Ἰωνᾶν

Ἱερώτατον χορὸν
συναθροίσας ἱερῶς,
τῇ τιμίᾳ σου σορῷ
παρεστώς, ἀνευφημῶ
τὸ ἔλεος,
ὃ μετ' ἐμοῦ ἐποίησας, μάρτυς Χριστοῦ.

Μακαρίως ἐπὶ γῆς
τὸν ἀγῶνα τὸν καλὸν

Heirm. ς' EE 12, n. 15, Andreae

246 II Ti. 4: 7

διανύσασα, σεμνή,
τὸν οὐράνιον Θεὸν
ἐδόξασας
καὶ νῦν δοξάζεις τοῖς θείοις θαύμασιν.

F. 167 Αἰνεσάτω ὁ λαὸς
τῆς τῶν πόλεων μητρὸς
τὸ καλλώπισμα αὐτῆς,
τὴν προστάτιν τὴν ἐμήν,
ὅτι καὶ νῦν
θαυματουργίαν ξένην ἐπέδειξεν.

Ῥάβδῳ θείας ἀρωγῆς
τὸν ποιμένα τὸν καλὸν
ἐπεστήριξας, σεμνή,
καὶ βαδίζειν εὐσταλῶς
ὡς πρότερον
εἰς τρίβους θείας ἐνεδυνάμωσας.

Θ. Τὴν μητέρα τοῦ Θεοῦ
καὶ καλὴν ἐν γυναιξὶ
περιίστανται λαμπρῶς
αἱ παρθένοι μετ' αἰδοῦς
καὶ θαύματος,
σελήνην ὥσπερ ἀστέρες ἄδυτοι.

Ὠδὴ ἑβδόμη. Τῶν ἐν καμίνῳ παίδων σου, σωτήρ

Ὑπὸ τῆς σῆς χρηστότητος, Χριστέ,
προβέβληται
πᾶσιν ἰατρὸς θαυματουργὸς
Θεοδοσία ἡ σεπτή,
προσδεχομένη
τοῖς δεινοῖς νοσήμασι

Heirm. ζ' EE 12, n. 15, Andreae

257 Cfr. Nu. 17: 5 **264** Ca. 1: 8

www.tezaurliturgic.ro

καὶ ἀνιάτοις πολὺν χρόνον παλαίοντα.

Σφαγιασθεῖσα κέρατι κριοῦ
ὡς ἄμωμον
θῦμα προσηνέχθης τῷ Χριστῷ
καὶ νοητῶν ἁμαρτωλῶν
κέρατα πάντα
συνθλάσασα, ὕψωσας
τὸ τῶν δικαίων τῶν σῶν κέρας ἐν πνεύματι.

Ὁ τοῖς ἐν γῇ ἁγίοις θαυμαστῶν,
ὡς εἴρηκε,
Κύριος καὶ σοὶ τὰ ἑαυτοῦ
παρέσχεν ἔργα ἐκτελεῖν,
ἐγὼ δέ, μάρτυς,
οὐκ αἴρων τὸν κράββατον,
ἀλλ' εὐχαρίστοις φωναῖς τὴν χάριν ὁμολογῶν.

Μετὰ πολλῆς τῆς πίστεως αἰτῶν,
οὐχ ἥμαρτε
τῆς εἰς σὲ ἐλπίδος ὁ κλεινὸς
καθηγεμών τε καὶ ποιμὴν
τῆς οἰκουμένης·
διό σε γεραίρομεν
καὶ σὺν αὐτῷ εὐχαρίστως μεγαλύνομεν.

Θ. Ὁ τοῦ Θεοῦ υἱὸς μονογενὴς
εὐδόκησε
σάρκα ἐκ παρθένου προσλαβεῖν,
ἵνα τὰς νόσους τὰς ἡμῶν
καὶ ἀσθενείας
βαστάσῃ ὡς εὔσπλαγχνος
καὶ τοῖς ἁγίοις αὐτοῦ θαυμαστωθῇ ἐπὶ γῆς.

Heirm. η' EE 12, n. 15, Andreae

281-282 I Ki. 2: 1; 2: 10 **283-285, 303** Ps. 15: 3 **288** Mar. 2: 12
300-302 Mat. 8: 17 **303** cfr. Ps. 8, 10

F. 167v ***Ὠδὴ ὀγδόη. Ὃν φρίττουσιν ἄγγελοι***

Ναὸς καθαρώτατος,
Θεοῦ χωρητικός,
ἀνάθημα ἔμψυχον,
κειμήλιον σεπτόν,
εὐῶδες ταμεῖον
γενομένη, σεμνή,
χάριν ἰαμάτων
τοῖς προσιοῦσι πνέεις.

Ἀσώματοι ἄγγελοι,
Θεοῦ λειτουργικοί,
τοῖς μέλλουσι σώζεσθαι
διάκονοι ταχεῖς
παρίστανται κύκλῳ
τῆς τιμίας σοροῦ,
ταῖς σαῖς ὑπουργοῦντες
σεπταῖς θαυματουργίαις.

Χειρῶν προσδεόμενος
ἑτέρων καὶ ποδῶν,
προσῆλθον σοι, ἔνδοξε,
καὶ νῦν ἀναρρωσθεὶς
ἐλπίδος ἁπάσης
ὑψηλότερον,
ὕμνοις εὐχαρίστοις
ἀνευφημῶ τὸ θαῦμα.

Ὁ Κύριος ἔδειξε
καὶ νῦν περιφανῶς
ὁπόσον ἡ δέησις
ἐστὶν ἡ ἐνεργής,
τὸν θεῖον ποιμένα
ἰασάμενος
διὰ τῆς ἐνδόξου
καὶ θείας ἀθλοφόρου.

www.tezaurliturgic.ro

Θ. Συσσείσασα πνεύματι
βιαίῳ τοὺς ἐχθροὺς
τῆς ποίμνης σου, δέσποινα,
κατάβαλε πρὸς γῆν,
αὐτὴν δὲ ἀνύψου
καὶ διάσωζε
ταῖς τοῦ ποιμενάρχου
εὐχαῖς εἰς τοὺς αἰῶνας.

Ὠδὴ ἐνάτη. *Τὴν ζωοδόχον πηγήν τὴν ἀέννaον*

Μετὰ πασῶν τῶν ἀΰλων δυνάμεων
καὶ τῶν ἁγίων ἁπάντων ἱκέτευε
τὸν τῶν ὅλων Κύριον,
ἀθλοφόρε ἔνδοξε,
συντηρηθῆναι ἀεὶ τῇ σῇ πατρίδι
τὴν εἰρηναίαν κατάστασιν ἄληκτον.

Ἀποθεμένη τὴν πρώην κατήφειαν,
ἀναλαβοῦσα φωνὴν χαριστήριον
ἡ Χριστοῦ γεραίρει σε
ἐκκλησία σήμερον,
Θεοδοσία σεμνή, τῷ ποιμενάρχῃ
τῆς δωρηθείσης ὑγείας συγχαίρουσα.

Ῥητορευόντων πολύφθογγα στόματα
καὶ φιλοσόφων ἐνθέων νοήματα
δεῦτε, εὐφημήσατε,
τοῦ Χριστοῦ τὴν μάρτυρα,
F. 168 ὅτι τὸν μέγαν αὐτοῦ ἀρχιερέα
θαυματουργήσασα ξένως ἰάσατο.

Κατὰ τὸ μέγα σου ἔλεος, Κύριε,

336-337 III Ki. 19: 11 **362** Nu. 14, 19

τὸ εἰς ἐμὲ γεγονός, μεγαλύνω σε,
ὅτι μεγαλεῖα μοι
θαυμαστὰ ἐποίησας
καὶ παρειμένον δεινῶς <- - - - ' >
διὰ τῆς μάρτυρος σοῦ ἐπεστήριξας.

Ὁ τοῦ Θεοῦ ἱεράρχης ὁ μέγιστος,
τῆς ἐκκλησίας ὁ θεῖος διάκοσμος,
ὁ πολὺς τὴν σύνεσιν
καὶ παντοίαις χάρισι
τῶν ἀρετῶν ἐκπρεπὴς καὶ τῆς παρούσης
εὐχαριστίας ὑπάρχει ὑπόθεσις.

Θ. Σιὼν ἁγία, Θεοῦ πόλις ἔμψυχε,
τὴν βασιλίδα τῶν πόλεων φύλαττε,
ταῖς εὐχαῖς καὶ δάκρυσι
καμπτομένη, δέσποινα,
τοῦ προστατοῦντος αὐτῆς καὶ ἐν κινδύνοις
χαλεπωτάτοις αὐτῇ συμπονήσαντος.

XI[a]. *Ἕτερος κανών, οὗ ἡ ἀκροστιχίς· Στέφει χαρίτων πατριάρχης σε στέφει, Θεοδοσία, Ἰωσήφ.*

Ὠδὴ πρώτη. *Ἦχος πλάγιος δ'. Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Σὺν ἀσωμάτοις νοεραῖς δυνάμεσι
καὶ τῶν ἁγίων χοροῖς
τῷ τοῦ Θεοῦ θρόνῳ
παρεστῶσα, ἔνδοξε,
τοῖς ἐπὶ γῆς ὑμνοῦσι σε
τῶν ψυχῶν καὶ σωμάτων

Heirm. θ' EE 14, n. 18, Andreae **366** quinque syllabae desiderantur, an versus mutilus ?
Heirm. α' EE 219, n. 314, Joannis

363-365 Lu. 1: 46-49 **374** Ps. 86: 3

www.tezaurliturgic.ro

Θ. Συσσείσασα πνεύματι
βιαίῳ τοὺς ἐχθρούς
τῆς ποίμνης σου, δέσποινα,
κατάβαλε πρὸς γῆν,
αὐτὴν δὲ ἀνύψου
καὶ διάσωζε
ταῖς τοῦ ποιμενάρχου
εὐχαῖς εἰς τοὺς αἰῶνας.

Ὠδὴ ἑνάτη. Τὴν ζωοδόχον πηγὴν τὴν ἀέννaον

Μετὰ πασῶν τῶν ἀΰλων δυνάμεων
καὶ τῶν ἁγίων ἁπάντων ἱκέτευε
τὸν τῶν ὅλων Κύριον,
ἀθλοφόρε ἔνδοξε,
συντηρηθῆναι ἀεὶ τῇ σῇ πατρίδι
τὴν εἰρηναίαν κατάστασιν ἄληκτον.

Ἀποθεμένη τὴν πρώην κατήφειαν,
ἀναλαβοῦσα φωνὴν χαριστήριον
ἡ Χριστοῦ γεραίρει σε
ἐκκλησία σήμερον,
Θεοδοσία σεμνή, τῷ ποιμενάρχῃ
τῆς δωρηθείσης ὑγείας συγχαίρουσα.

Ῥητορευόντων πολύφθογγα στόματα
καὶ φιλοσόφων ἐνθέων νοήματα
δεῦτε, εὐφημήσατε,
τοῦ Χριστοῦ τὴν μάρτυρα,
F. 168 ὅτι τὸν μέγαν αὐτοῦ ἀρχιερέα
θαυματουργήσασα ξένως ἰάσατο.

Κατὰ τὸ μέγα σου ἔλεος, Κύριε,

336-337 III Ki. 19: 11 **362** Nu. 14, 19

τὸ εἰς ἐμὲ γεγονός, μεγαλύνω σε,
ὅτι μεγαλεῖα μοι
θαυμαστὰ ἐποίησας
καὶ παρειμένον δεινῶς <- - - - ' >
διὰ τῆς μάρτυρος σοῦ ἐπεστήριξας.

Ὁ τοῦ Θεοῦ ἱεράρχης ὁ μέγιστος,
τῆς ἐκκλησίας ὁ θεῖος διάκοσμος,
ὁ πολὺς τὴν σύνεσιν
καὶ παντοίαις χάρισι
τῶν ἀρετῶν ἐκπρεπὴς καὶ τῆς παρούσης
εὐχαριστίας ὑπάρχει ὑπόθεσις.

Θ. Σιὼν ἁγία, Θεοῦ πόλις ἔμψυχε,
τὴν βασιλίδα τῶν πόλεων φύλαττε,
ταῖς εὐχαῖς καὶ δάκρυσι
καμπτομένη, δέσποινα,
τοῦ προστατοῦντος αὐτῆς καὶ ἐν κινδύνοις
χαλεπωτάτοις αὐτῇ συμπονήσαντος.

XI[a]. *Ἕτερος κανών, οὗ ἡ ἀκροστιχίς· Στέφει χαρίτων πατριάρχης σε στέφει, Θεοδοσία, Ἰωσήφ.*

Ὠδὴ πρώτη. Ἦχος πλάγιος δ'. Ἁρματηλάτην Φαραὼ ἐβύθισε

Σὺν ἀσωμάτοις νοεραῖς δυνάμεσι
καὶ τῶν ἁγίων χοροῖς
τῷ τοῦ Θεοῦ θρόνῳ
παρεστῶσα, ἔνδοξε,
τοῖς ἐπὶ γῆς ὑμνοῦσι σε
τῶν ψυχῶν καὶ σωμάτων

Heirm. θ' EE 14, n. 18, Andreae versus mutilus ?
Heirm. α' EE 219, n. 314, Joannis

363-365 Lu. 1: 46-49 **366** quinque syllabae desiderantur, an **374** Ps. 86: 3

www.tezaurliturgic.ro

τὴν θεραπείαν κατάπεμψον,
δόσις τοῦ Θεοῦ ἡ φερώνυμος.

Τὴν ἀρετὴν ἐπιμελῶς ἀσκήσασα
καὶ τῶν παθῶν τῆς σαρκὸς
ἀθλητικοῖς πόνοις
ἀνδρικῶς κρατήσασα,
τὸ τῆς ψυχῆς θειότερον
συνεκίνησας ὅλον
πρὸς τὸν οὐράνιον ἔρωτα
καὶ θεοειδὴς ὅλη γέγονας.

Ἐνεργουμένη τοῦ Θεοῦ ἡ δύναμις
ἐν τοῖς ἁγίοις αὐτοῦ
καὶ δι' ἐμοῦ πᾶσι
θαυμαστῶς γνωρίζεται·
ὡς γὰρ ὁ πρὶν παράλυτος
F. 168v οὐ τὸν κράββατον ἄρας,
ἀλλὰ φωνὴν χαριστήριον
πᾶσι διαγγέλλω τὴν ἴασιν.

Φερωνυμία θεοσδότου κλήσεως
λαμπρυνομένη, σεμνή,
τὸν ἐκ Θεοῦ πᾶσι
δεδομένον πρόβολον,
ἀρχιερέα μέγιστον,
συμπτωθέντα τῇ νόσῳ
θείᾳ δυνάμει ἀνώρθωσας·
ὅθεν εὐχαρίστως ὑμνοῦμεν σε.

Θ. Ἐκ τῆς πλευρᾶς ἡ γενομένη πρότερον
τοῦ πρωτοπλάστου Ἀδὰμ
τὸν παγγενῆ πᾶσι
θάνατον εἰσήγαγε,
ἡ δὲ παρθένος ὕστερον,

Heirm. γ' EE 219, n. 314. Joannis

21-22 Mar. 2: 11-12 **33-34** Ge. 2: 21-22

τοῦ Ἀδὰμ τοῦ δευτέρου
φανεῖσα μήτηρ, εἰσήνεγκε
τὴν ἀθανασίαν τῷ γένει ἡμῶν.

Ὠδὴ τρίτη. Ὁ στερεώσας κατ' ἀρχάς

Ἵνα τὸν βίον εὐκλεῶς
τῷ μαρτυρίῳ σφραγίσῃς,
πυρωθεῖσα τὴν ψυχὴν θείῳ ζήλῳ,
τοὺς ἀτόπους ὑβριστὰς
τῆς τοῦ Θεοῦ σαρκώσεως
καὶ τῆς αὐτοῦ εἰκόνος
βολαῖς ἐλέγχων κατέτρωσας.

Χάριν ἰάσεων ἡμῖν
ἀναπηγάζει πλουσίως
ἡ τιμία σου σορὸς τῶν λειψάνων,
εὐωδίαν θαυμαστὴν
ἐνθέως ἀναδίδωσι,
ζῆν ἐν Κυρίῳ πείθει
τοὺς δι' αὐτὸν μαρτυρήσαντας.

Ἀγαλλιᾶσθε σὺν ἐμοί,
ἡ τῶν πιστῶν ἐκκλησία·
μεγαλύνωμεν τὸν Κύριον ἅμα,
ὅτι δώρημα κοινόν,
πηγὴν καινῶν ἰάσεων
Θεοδοσίαν πᾶσιν
ὡς ἀγαθὸς ἐδωρήσατο.

Ῥεῦμα βιαίως ἐνεχθὲν
τὸν ἀπερίτρεπτον στύλον
τῆς μεγάλης τοῦ Χριστοῦ ἐκκλησίας
συνεπόδισε δεινῶς,

Heirm. cath. MR I 9 Cath. in marg. inferiore scriptum invenitur

53 Ro. 14: 8

www.tezaurliturgic.ro

ἀλλ᾽ ὑποσχοῦσα τάχιον
τὴν κραταιάν σου χεῖρα
πάλιν αὐτὸν ἐπηνώρθωσας.

Θ. Ἱερωσύνης τῆς καινῆς
τὸν ἀρχηγὸν συλλαβοῦσα
καὶ τεκοῦσα, Θεοτόκε παρθένε,
μυστηρίων ἀρχηγὸς
τοῖς ἱεράρχαις γέγονας,
θεωρημάτων πλοῦτος
καὶ ἐγκωμίων ὑπόθεσις.

Κάθισμα. Ἦχος πλάγιος δ΄. ***Τὴν σοφίαν καὶ λόγον ἐν σῇ γαστρί***

Τῶν θαυμάτων τὴν χάριν παρὰ Θεοῦ
δεξαμένη πλουσίως, μάρτυς Χριστοῦ,
πλημμύραις ἰάσεων
πελαγίζεις τὰ πέρατα
καὶ τῶν νοσούντων λύεις
παθήματα χρόνια
καὶ χαλεπὰς πηρώσεις
σωμάτων, ἀοίδιμε·
ὅθεν ἐπαξίως
τὴν ἁγίαν σορόν σου
κυκλοῦντες, δοξάζομεν
τὸν ἐν σοὶ δοξασθέντα Θεόν,
Θεοδοσία πανεύφημε·
«πρέσβευε αὐτῷ ἐκτενῶς
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
<τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου>».

Heirm. δ΄ EE 219, n. 314, Joannis detruncatur, v. auctoritate heirm. supplevi

91 post δωρήσασθαι orat.

69 Cfr. He. 7: 11-14 **86-87** Cfr. Jno. 13: 31- 32

Ὠδὴ τετάρτη. Σύ μου, Χριστέ,

Τὴν τοῦ Χριστοῦ
θείαν εἰκόνα προσβλέπουσα
καὶ δοκοῦσα τούτῳ διατρίβοντι
ἐπὶ τῆς γῆς διὰ τῆς σαρκὸς
ὡς αἱ μυροφόροι
διακονεῖν καὶ προσφθέγγεσθαι,
τὸν ταύτης καθαιρέτην
ὡς αὐτοῦ ἀναιρέτην
ζήλῳ θείῳ θανάτῳ παρέδωκας.

Ὥσπερ ποτὲ
τοῖς ἀποστόλοις ὁ Κύριος,
ἔτι ζῶσι, σοὶ καὶ μετὰ θάνατον,
θαῦμα φρικτόν, ἔδωκεν ἰσχὺν
νόσους θεραπεύειν,
νεκροὺς ἐγείρειν τοῖς μέλεσι,
δαιμόνια ἐκβάλλειν
καὶ λεπροὺς καθαρίζειν
δωρεάν τε διδόναι ὡς ἔλαβες.

Νέον ἡμῖν
εὐαγγελίου παράλυτον
ἡ ὁσία μάρτυς ἐθεράπευσεν·
ὡς γὰρ ἐκεῖνος καὶ νῦν αὐτὸς
ὡς ὑπὸ τεσσάρων
αἰρόμενος προσενήνεγμαι
δεήσεως ἐλπίδος,
πίστεως καὶ ἀγάπης,
διὸ ἤκουσα θᾶττον τὸ «ἔγειραι».

Προφητικὴ
φωνὴ προήγγειλε πόρρωθεν

125 μογγιλάλων (sic) Me

96 Lu. 23: 56; 24:1 **105-109** Mat. 10: 8 **114-115** Mar. 2: 3
116-117 I Co. 13: 13 **118** Mar. 2: 11

www.tezaurliturgic.ro

τῶν θαυμάτων τὴν μεγαλειότητα,
τῶν προϊόντων ἐκ τῆς σοροῦ
τῆς σῆς, ἀθλοφόρε·
τότε ἁλεῖται ὡς ἔλαφος
χωλὸς καὶ μογγιλάλων,
τρανωθήσεται γλῶττα
καὶ Θεὸς ἐπὶ γῆς δοξασθήσεται.

Ἆσμα καινὸν
ἡ ἐκκλησία προσᾴδει σοι,
τὸν ποιμένα βλέπουσα ὡς πρότερον,
Θεοδοσία, μάρτυς Χριστοῦ,
ταύτην ἐγκοσμοῦντα
καὶ ἱερῶς προνοούμενον,
θυσίαις εὐαγέσι
καὶ εὐχαῖς εὐπροσδέκτοις
τῷ λαῷ τὸν Θεὸν ἱλασκόμενον.

Θ. *Τὸν ἑαυτῆς*
υἱὸν ἡ πάναγνος δέσποινα
σταυρωθέντα βλέπουσα, ὠδύρετο
τῶν μιαιφόνων τὸ ἀπηνές,
ἡ σεπτὴ δὲ μάρτυς
ἐν τῇ εἰκόνι ῥιπτούμενον
ὁρῶσα τὸν δεσπότην,
βοηθεῖν ἐπεχείρει
F. 169[v] *καὶ τῆς τόλμης ῥιπτεῖ τὸν αὐτόχειρα.*

Ὠδὴ πέμπτη. Ἵνα τί με ἀπώσω

Ῥητορεύουσα γλῶσσα
καὶ τῶν νοημάτων εὑρέσει πλημμύρουσα
καὶ λαμπρᾷ συνθήκῃ
τῶν οἰκείων τοῖς πράγμασι λέξεων

Heirm. ε′ EE 219, n. 314, Joannis

124-126 Is. 35:6 **128** Cfr. Ps. 32: 3; 39: 3; 95: 1 **139** Jno. 19: 28

ἐμμελῶς ἠχοῦσα, τὰ μεγαλεῖα τῶν θαυμάτων
ἐπαξίως ὑμνεῖν σου οὐ δύναται.

«Ἵνα τί μοι τὸ βλέπειν
φῶς τὸ αἰσθητὸν», ἐν ὀδύνῃ ἐκραύγαζον,
«τί ζωῆς μοι κέρδος,
παρειμένῳ τὰ μέλη τοῦ σώματος;»,
σὺ δέ μοι προσχοῦσα, Θεοδοσία, παραδόξως
ἰατρὸς ἀνεφάνης θεόσδοτος.

Ἀραμένη προθύμως
τὸν σταυρόν σου, ἔδραμες ἀκολουθοῦσα Χριστῷ
καὶ τῇ κοινωνίᾳ
τῶν αὐτοῦ παθημάτων δεδόξασαι
καὶ διπλοῦν τὸ στέφος, Θεοδοσία, ἐκομίσω
δι᾽ ἀμφοῖν φερωνύμως δοθεῖσα Θεῷ.

Ῥήξασα τοὺς δεσμούς μου
τῶν ποδῶν, ἐπέτρεψας ἐλευθερίως χωρεῖν,
διό σοι θυσίαν
θύσω, μάρτυς, ἐνθέου αἰνέσεως
καὶ τὸ ὄνομα σου ἐπικαλέσομαι προθύμως
καὶ ἐν σοὶ εὐλογήσω τὸν Κύριον.

Χαριτόβρυτον νᾶμα
θείων ἰαμάτων θεόθεν πλουτήσασα,
τῷ χαριτωθέντι
ἐκ Θεοῦ ποιμενάρχῃ ἐπέχεας
καὶ τὴν τούτου νόσον ἐναποκλύσασα ἀλύπως,
ἐρρωμένον, ἀρτίπουν ἀπέφηνας.

Θ. *Ἡ πανάμωμος μήτηρ*
τοῦ τὴν βασιλείαν ἀΐδιον ἔχοντος,
βασιλὶς τῶν ὅλων
καὶ τοῦ κόσμου προστάτις προβέβληται

Heirm. ς′ EE 222, n. 318, Joannis

158-159 Mat. 16: 24 **166-167** Ps. 49: 14 **168** Ps. 49: 15

www.tezaurliturgic.ro

καὶ τὴν πόλιν ταύτην Θεοδοσίᾳ τῇ παρθένῳ
ὡς οἰκείαν φυλάττειν παρέδωκεν.

F. 170 **Ὠδὴ ἕκτη. Ἄβυσσος ἁμαρτιῶν**

Σάλπιγγες ῥητορικαί,
φιλοσόφων ἱερῶν συμφωνίαι,
ἐποποιῶν οἱ κρότοι,
μουσολόγων αἱ χάριτες,
ὕμνων στέφανον λαμπρὸν
ποικιλοσύνθετον τῇ παρθένῳ
Θεοδοσίᾳ ἀναπλέξατε.

Σύμφωνον ταῖς γυναιξὶ
προθυμίαν ἐμβαλοῦσα σὺν ταύταις,
τὸν ὑβριστὴν τῆς θείας
τοῦ σωτῆρος σαρκώσεως
καὶ εἰκόνος τῆς αὐτοῦ
θᾶττον παρέπεμψας τῷ θανάτῳ
τὸν τῆς ζωῆς ὄντως ἀνάξιον.

Ἔλεον τὸν τοῦ Θεοῦ
μιμουμένη, τὰ ἱάματα χύδην
τοῖς δεομένοις βρύεις
ὥσπερ κρήνη ἀένναος
καὶ πηρώσεις χαλεπὰς
λύεις σωμάτων καὶ ἐπισφίγγεις
τοὺς παρειμένους, ἀξιάγαστε.

Σύ μοι, μάρτυς, πρὸς Θεὸν
τῆς ὑγείας ἐχρημάτισας πρέσβις,
ἐγὼ δέ σοι πρὸς πάντας
τοὺς ἀνθρώπους γενήσομαι
κήρυξ εὔφωνος, τὴν σὴν
πᾶσι μηνύων θαυματουργίαν,
Θεοδοσία παμμακάριστε.

Τάξεσι παρθενικαῖς
ὥσπερ μέγας ἑωσφόρος ἐμπρέπεις

φωτοφανέσιν ἄστροις
καὶ τὸν μέγαν διδάσκαλον
καὶ ποιμένα τῶν πιστῶν
ὡς ἐκ νυκτὸς τῆς ἀκινησίας,
Θεοδοσία, θᾶττον ἤγειρας.

Θ. Ἔπρεπε τῇ γυναικῶν
καλλονῇ Θεοδοσίᾳ τὴν πόλιν
ταύτην οἰκεῖν καὶ σῴζειν,
ἣν ἡ πάντων δεσπόζουσα
τῶν κτισμάτων καὶ Θεοῦ
μήτηρ ὡς ἴδιον ἔσχε κλῆρον
καὶ ἐκ πολλῶν κινδύνων ἔσωσεν.

F. 170^{v} **Ὠδὴ ἑβδόμη. Θεοῦ συγκατάβασιν**

Φαιδρῶς ἑορτάσωμεν
ἀγαλλιώμενοι καὶ βοήσωμεν·
«τίς Θεὸς μέγας οὕτως
ὡς ὁ Θεὸς ἡμῶν ποιῶν θαύματα
καὶ τεραστίους
ἰάσεις δωρούμενος
διὰ τῆς θείας αὐτοῦ παρθενομάρτυρος;»

Ἐλάσας ὁ φόνιος
διὰ τοῦ σοῦ αὐχένος τὸ κέρας, σεμνή,
τοῖς κρουνοῖς τῶν αἱμάτων
καὶ ἰαμάτων ῥεῖθρα ἀέννααα
καὶ τῶν θαυμάτων
πηγὰς ὡς οὐκ ᾤετο
τοῖς δεομένοις ἀεὶ συνανεστόμωσεν.

Ἰδού σοι τὰ ἔπαθλα

Heirm. ζ′ EE 219, n. 314, Joannis

226-227 Ps. 71: 18

www.tezaurliturgic.ro

τῶν σῶν ἀγώνων πολλαπλασίονα
καὶ λαμπρὰς ἀντιδόσεις
ὁ ἀθλοθέτης ἀντιμετρεῖ δαψιλῶς,
δι' ὃν τὸ αἷμα
προθύμως ἐξέχεας
καὶ τῆς εἰκόνος αὐτοῦ ὑπερηγώνισαι.

Θεοῦ δόσιν ἔνθεον
καὶ τῶν θαυμάτων αὐτοῦ διάκονον
ἐπιστάμενος πίστει,
πρὸς σὲ κατέφυγον, θεοδόξαστε,
καὶ τῆς ἐλπίδος
οὐδόλως διήμαρτον,
ἀλλὰ τυχὼν τῆς ὑγείας μεγαλύνω σε.

Ἐθαύμασαν ἅπαντες
τὸ μεγαλεῖον τοῦ ξένου θαύματος,
οὐ ἐτέλεσας, μάρτυς,
τὸν ἱερὸν ποιμένα στηρίξασα
καὶ παρειμένον
στερρῶς ἐπισφίγξασα
καὶ βηματίζειν ὀρθῶς παρασκευάσασα.

Θ. *Ὁ λόγος ὁ ἄναρχος*
ἀρχὴν λαμβάνει τὴν καθ' ἡμᾶς ἀπὸ σοῦ
καὶ ὁρᾶται ἀνθρώποις
καὶ θαυμασίως συναναστρέφεται,
τὸ γένος ἅπαν
τῆς πλάνης λυτρούμενος,
εὐλογημένη ἁγνή, ὁ τῶν μαρτύρων Θεός.

Ὠδὴ ὀγδόη. Ἑπταπλασίως κάμινον

Διὰ παντὸς ἱκέτευε
τὸν δεσπότην, πανεύφημε,

Heirm. η' EE 219, n. 314, Joannis

σὺν ταῖς οὐρανίαις νοεραῖς δυνάμεσι
καὶ πᾶσι τοῖς μάρτυσι
F. 171 *καὶ τῶν ἁγίων πάντων χοροῖς*
ἵλεων γενέσθαι τοῖς αὐτὸν σεβομένοις,
ὁμόνοιαν, εἰρήνην,
εὐθηνίαν, ὑγείαν
ἀνώδυνόν τε βίον
αὐτοῖς ἐπιμετρῆσαι.

Ὁ τῶν μαρτύρων στέφανος,
τῶν παρθένων τὸ καύχημα,
τὸ τῆς βασιλίδος ἐκπρεπὲς ἀγλάϊσμα
λαμπρῷ τῷ κηρύγματι
πόλεις καὶ χώρας, λαούς, φυλὰς
ἐπὶ τὴν ἰδίαν συγκαλεῖται πατρίδα,
«προσέλθετε», βοῶσα,
«τὸν ἐμὸν φαγεῖν ἄρτον
καὶ οἶνον τῶν θαυμάτων
πιεῖν εἰς εὐφροσύνην».

Σὲ ὑπομένων, Κύριε,
ἐν ὀδύνῃ ὑπέμεινα
καὶ εἰσήκουσάς μου φωνῆς τῆς δεήσεως
καὶ λάκκου ἀνήγαγες
ταλαιπωρίας με καὶ πηλοῦ,
στήσας ἐπὶ πέτραν ἀσφαλῆ μου τοὺς πόδας,
τὰ διαβήματά μου
κατευθύνας καὶ ᾄσμα
καινόν μοι δοὺς ἐᾴδειν
διὰ τῆς μάρτυρός σου.

Ἱεραρχῶν ὁ πρόκριτος
σὺν τῷ θείῳ πληρώματι

Heirm. θ' EE 220, n. 314, Joannis

284-285 Ju. 12: 13 **286-294** Ps. 39: 1-4

www.tezaurliturgic.ro

τῷ τῆς ἐκκλησίας ἱερὰν πανήγυριν
φαιδρῶς συστησάμενος,
τὸ ἐπ᾽ αὐτῷ τεράστιον
πᾶσι διαγγέλλει τῆς δοθείσης ὑγείας
ἐκ σοῦ, Θεοδοσία,
χαριστήριον ὕμνον
αἰνέσεως θυσίαν
ἀνάγων σοι προθύμως.

Θ. Ἀδυνατοῦσι, δέσποινα,
προφανῶς ἀπορούμενοι
οἱ περὶ τὸ λέγειν δυνατοὶ καὶ πρόχειροι,
τὸ μέγα καὶ ἄπειρον
τῶν σῶν ἐπαίνων πέλαγος
ὅρῳ περιγράψαι καὶ τοῖς λόγοις ἐκπλεῦσαι·
διὸ κἀν τῇ παρούσῃ
τῆς σεπτῆς ἀθλοφόρου
καινῇ θαυματουργίᾳ
συνήθως σε ὑμνοῦμεν.

F. 171ᵛ **Ὠδὴ ἐνάτη. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός**

Ἰδού σοι προσφωνοῦμεν ἀσματικῶς·
«ὡραιώθησαν αἱ σιαγόνες σου
ὡς καθαρᾶς
τρυγόνος νηστείᾳ καὶ προσευχῇ,
ὁ δὲ σεπτός σου τράχηλος
οἱάπερ ὁρμίσκος περικαλλὴς
τῷ κέρατι ὡς λίθῳ
τιμίῳ διαπρέπων
καθωραΐζει τοὺς τιμῶντας σε.

Ὡς ἔχουσα μεγάλην πρὸς τὸν Χριστὸν
παρρησίαν, ἱκέτευε, ἔνδοξε,
διὰ σταυροῦ

304 Cfr. Ps. 49: 23 **317-319** Ca. 1: 10

κράτος δωρηθῆναι τῷ βασιλεῖ,
ταῖς ἐκκλησίαις ἕνωσιν,
τῇ μεγαλοπόλει διηνεκῆ
ἀσφάλειαν, εἰρήνην,
ἀέρων εὐκρασίαν
καὶ νοσημάτων ἀπολύτρωσιν.

Στησάμενοι χορείαν πνευματικὴν
ἐν εὐρύθμοις ᾠδαῖς, φιλομάρτυρες,
τὴν εὐκλεῆ
μάρτυρα δοξάσατε σὺν ἐμοί·
καὶ γὰρ σημεῖον ἔνδοξον
θαῦμα ἐκφανέστατον ἐπ᾽ ἐμοὶ
εἰργάσατο, τοὺς πόδας
χρονίως παρειμένους
ἰασαμένη θείᾳ χάριτι.

Ἡ θεία κορυφὴ τῶν πατριαρχῶν,
ὁ πολὺς τὴν τοῦ πνεύματος σύνεσιν,
τῶν ἀρετῶν
ὁ θεοχαρίτωτος θησαυρός,
ὁ συμπαθὴς καὶ ἄκακος
σήμερον ἡμᾶς εἰς πνευματικὴν
προτρέψας παιδαισίαν,
ἐκτρέφει φιλοτίμως
τῷ κατ᾽ αὐτὸν μεγάλῳ θαύματι.

Θ. Φωνήν σοι τοῦ ἀγγέλου χαρμονικῶς
προσφωνοῦμεν, παρθένε θεόκλητε,
χαῖρε, Θεοῦ
πόλις καὶ παλάτιον ἱερόν,
χαῖρε, λυχνία πάγχρυσε,
τράπεζα καὶ στάμνε καὶ κιβωτέ

352-354 Lu. 1: 28 **354-355** Θεοῦ πόλις Ps. 86: 3
355 παλάτιον III Ki. 7: 38-49 **356** Ex. 38: 13-17
357 τράπεζα Ex. 38: 9-12 στάμνος Ex. 16: 33 κιβωτός Ex. 38: 1-8

www.tezaurliturgic.ro

τῆς νέας διαθήκης
τῶν πάλαι μυστηρίων,
χαῖρε, ἡ νέα διακάθαρσις.

*

* *

XII. Κανὼν εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Ἰωάννην τὸν Δαμασκηνόν, οὗ ἡ ἀκροστιχίς· Τὴν πνευματοκρότητον ὑμνῶ κιθάραν, Μάρκος.

F. 118 **Ὠδὴ πρώτη. Ἦχος τέταρτος. *Ἀνοίξω τὸ στόμα μου***

Τὴν λύραν τοῦ πνεύματος,
τὴν θεοκρότητον σάλπιγγα,
τὸν νοῦν τὸν οὐράνιον, γλῶσσαν τὴν εὔλαλον,
τὴν μελίρρυτον πηγὴν τῶν θείων ὕμνων
ἀξίως ὑμνήσωμεν οἰκείοις ἄσμασιν.

Ἡ χάρις τοῦ πνεύματος
τοῦ παναγίου σκηνώσασα
ἐν σοὶ κατελάμπρυνε τὴν σὴν διάνοιαν
καὶ θεόληπτον καὶ θεῖον ὑμνολόγον
ἀνέδειξε, τέρποντα τὴν ἐκκλησίαν Χριστοῦ.

Νεότητος χάρισι
καὶ εὐγενείας λαμπρότητι
καὶ πλούτῳ κοσμούμενος, πάτερ ἀοίδιμε,
πάντα σκύβαλα ἡγήσω ὡς ὁ Παῦλος,
Χριστὸν ἀντὶ πάντων δὲ μόνον ἠγάπησας.

Ποικίλον συνέλεξας
ἐν τῇ ψυχῇ πλοῦτον, ὅσιε,
σοφίας καὶ γνώσεως, ὃν καθυπέταξας
τῷ δεσπότῃ σου ὡς ἔμπορος ἐχέφρων,
τὰ θεῖα μυστήρια διερμηνεύων ἀεί.

Θ. *Νοήσαντες πόρρωθεν*
οἱ θεηγόροι, πανάμωμε,

Tit. Τοῦ ἁγίου πατρὸς καὶ φωστῆρος ἡμῶν Μάρκου ἀρχιεπισκόπου Ἐφέσου τοῦ Νέου Θεολόγου ante κανὼν add. Je in D

Heirm. α′ EE 99, n. 141, Joannis

3 Cfr. Si. 6: 5 **14** Phi. 3: 8 **17-18** Ro. 11: 33 **19** Mat. 13: 45

www.tezaurliturgic.ro

τῆς νέας διαθήκης
τῶν πάλαι μυστηρίων,
χαῖρε, ἡ νέα διακάθαρσις.

*

* *

XII. *Κανὼν εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Ἰωάννην τὸν Δαμασκηνόν, οὗ ἡ ἀκροστιχίς·* Τὴν πνευματοκρότητον ὑμνῶ κιθάραν, Μάρκος.

F. 118 **Ὠδὴ πρώτη. Ἦχος τέταρτος. *Ἀνοίξω τὸ στόμα μου***

Τὴν λύραν τοῦ πνεύματος,
τὴν θεοκρότητον σάλπιγγα,
τὸν νοῦν τὸν οὐράνιον, γλῶσσαν τὴν εὔλαλον,
τὴν μελίρρυτον πηγὴν τῶν θείων ὕμνων
ἀξίως ὑμνήσωμεν οἰκείοις ἄσμασιν.

Ἡ χάρις τοῦ πνεύματος
τοῦ παναγίου σκηνώσασα
ἐν σοί κατελάμπρυνε τὴν σὴν διάνοιαν
καὶ θεόληπτον καὶ θεῖον ὑμνολόγον
ἀνέδειξε, τέρποντα τὴν ἐκκλησίαν Χριστοῦ.

Νεότητος χάρισι
καὶ εὐγενείας λαμπρότητι
καὶ πλούτῳ κοσμούμενος, πάτερ ἀοίδιμε,
πάντα σκύβαλα ἡγήσω ὡς ὁ Παῦλος,
Χριστὸν ἀντὶ πάντων δὲ μόνον ἠγάπησας.

Ποικίλον συνέλεξας
ἐν τῇ ψυχῇ πλοῦτον, ὅσιε,
σοφίας καὶ γνώσεως, ὃν καθυπέταξας
τῷ δεσπότῃ σου ὡς ἔμπορος ἐχέφρων,
τὰ θεῖα μυστήρια διερμηνεύων ἀεί.

Θ. Νοήσαντες πόρρωθεν
οἱ θεηγόροι, πανάμωμε,

Tit. Τοῦ ἁγίου πατρὸς καὶ φωστῆρος ἡμῶν Μάρκου ἀρχιεπισκόπου Ἐφέσου τοῦ Νέου Θεολόγου ante κανὼν add. Je in D

Heirm. α′ EE 99, n. 141, Joannis

3 Cfr. Si. 6: 5 **14** Phi. 3: 8 **17-18** Ro. 11: 33 **19** Mat. 13: 45

www.tezaurliturgic.ro

τὸ μέγα μυστήριον τῆς σῆς κυήσεως
προδιέγραψαν αἰνίγμασι ποικίλοις,
ἅπερ οἱ διδάσκαλοι σαφῶς ἀνέπτυξαν.

Ὠδὴ τρίτη. *Τοὺς σοὺς ὑμνολόγους, θεοτόκε*

Ἐσάλπισας, πάτερ, ἐξ ἑώας
εἰς πᾶσαν τὴν γῆν ὡς ἀληθῶς
θεηγορίας ῥήματα,
τῶν δυσσεβῶν αἱρέσεων
τὰς συστροφὰς ἐλέγχοντα
καὶ τὰ σοφίσματα λύοντα.

Ὑψοῦ κεφαλήν, πάτερ, διάρας
καὶ κύκλῳ τὸ ὄμμα τῆς ψυχῆς
διαγαγών, ἐπλήρωσας
τὴν οἰκουμένην ἅπασαν
τοῖς ἱεροῖς σου δόγμασιν
ὡς οἱ θεόπται ἀπόστολοι.

F. 118v Μανίαν αἱρέσεως ἀλόγου
διήλεγξας λόγοις σου, σοφέ,
εἰκονομάχων φρύαγμα
καταβαλὼν εἰς ἔδαφος
ὀρθοδοξίας δόγμασιν
οἷα στερραῖς ἐλεπόλεσιν.

Θ. Ἁγία παρθένε Θεοτόκε,
διάσωσον ἅπαντας ἡμᾶς,
τοὺς εὐσεβῶς ὑμνοῦντας σε
τοῖς θεοφθόγγοις ἄσμασι
τοῦ σοῦ σοφοῦ θεράποντος,
ᾧ τὴν σὴν χάριν ἐνέπνευσας.

Κάθισμα. Ἦχος πλάγιος τοῦ τετάρτου. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρί*

Τὴν οὐράνιον γνῶσιν καὶ θεϊκὴν
τῇ σοφίᾳ συνάψας τῇ λογικῇ,
τὸν κόσμον ἐφώτισας
τοῖς πανσόφοις σου δόγμασι
καὶ θεολόγων ὤφθης
σφραγὶς καὶ κεφάλαιον
καὶ τοῖς ἐνθέοις ὕμνοις
ψυχὰς ἀνεπτέρωσας·
ὅθεν οἱ τοῦ σκότους
τῆς ἀγνοίας ῥυσθέντες
τοῖς θείοις διδάγμασι
τῆς σῆς γλώττης, πανόλβιε,
ἀνυμνοῦντες βοῶμέν σοι·
«πρέσβευε Χριστῷ τῷ Θεῷ».

Ἕτερον. Ἦχος δ'. *Κατεπλάγη Ἰωσήφ*

Κατεπλάγησαν σοφοὶ
καὶ δυνατοὶ καὶ βασιλεῖς
τὴν δοθεῖσαν σοι, σοφέ,
χάριν σοφίας ἐκ Θεοῦ·
τὰς γὰρ αἱρέσεις τοῖς δόγμασι θριαμβεύσας,
πίστιν τὴν ὀρθὴν διετράνωσας,
ὕμνοις ἱεροῖς διεκόσμησας,
τὰς ἐκκλησίας ἄδειν παρασκεύασας
ταῖς οὐρανίαις δυνάμεσι
συμφώνους, ὅσιε, μελῳδίας,
αἷς ἐπαξίως ὑμνοῦμεν σε.

Heirm. γ' EE 100, n. 141, Joannis. Heirm. in marg. scriptus invenitur

32-33 Is. 49: 18; 60: 4

Heirm. cath. MR I 68 **Heirm. cath. alterius** HR 129

64-65 Cfr. Jos. 5: 1

www.tezaurliturgic.ro

Ὠδὴ τετάρτη. Ὁ καθήμενος ἐν δόξῃ

Τὴν οὐράνιον σοφίαν
οὐρανόθεν δεξάμενος,
θεοπνεύστοις λόγοις
ὡς ἐξ οὐρανοῦ κατεβρόντησας
τὰς ἀντιθέους αἱρέσεις,
μόνον αἴτιον
τὸν πατέρα διδάσκων υἱοῦ καὶ τοῦ πνεύματος.

Ὁ τοῦ θείου οἴκου ζῆλος
τὴν ψυχήν σου κατέφαγε,
πάτερ Ἰωάννη,
F. 119 περιῃρημένου τὴν κόσμησιν
τῶν σεβασμίων εἰκόνων·
ὅθεν ἔπληττες
τοὺς ἀθέους μακρόθεν βολαῖς ταῖς ἐκ μέλανος.

Κατὰ λόγον ὑποθέσθαι
τὸν θεμέλιον ἔκρινας
τοῦ ἐνθέου βίου
τὴν ὑπακοήν, ἀξιάγαστε·
ὅθεν σοφὸς ἰδιώτῃ
παρεπόμενος
ὑπετάσσου, πληρῶν τὰ ἐκείνου προστάγματα.

Ῥητορεύων ἐν σοφίᾳ
τῇ τοῦ πνεύματος, ὅσιε,
τὰ τῶν θεολόγων
δόγματα πανσόφως συνήγαγες,
ὡς ἀληθείας κανόνα
τὰ θεόγραφα
καταλείψας ἡμῖν, Ἰωάννη, συντάγματα.

Θ. Ὁ ταῖς ἄνω στρατηγίαις
φοβερὸς καὶ ἀπρόσιτος

Heirm. δ′ EE 95, n. 135, Joannis

82-83 Ps. 68: 9

προσιτός μοι ὤφθη,
σάρκα ἐκ παρθένου καθ' ἕνωσιν
περιβαλλόμενος ξένην,
ὃ μυστήριον
ὁ σοφὸς Ἰωάννης ὁ Σύρος ἀνύμνησεν.

Ὠδὴ πέμπτη. Ἐξέστη τὰ σύμπαντα

Τὸ σκεῦος τὸ τίμιον
τῆς ἐκλογῆς τῆς χάριτος,
τὸν τῆς ἐκκλησίας νυμφοστόλον,
τὸν χρυσορρόαν καὶ χρυσοχεύμονα
Ἰωάννην ἄσμασι, πιστοί,
πάντες εὐφημήσωμεν,
οἷς αὐτὸς ἐμελούργησεν.

Ἡδίστοις μελίσμασι
καὶ μουσικοῖς συντάγμασι
τὴν ἁγνὴν παρθένον Θεοτόκον
καὶ τοὺς ἁγίους πάντας ἀνύμνησας,
Ἰωάννη ὅσιε, διὸ
πάντες εὐφημοῦμέν σε,
σοὶ τὰ σὰ προσκομίζοντες.

Τὸ πνεῦμα τὸ ἅγιον
ἐκ τοῦ πατρὸς προέρχεσθαι
καὶ υἱοῦ δὲ εἶναι τοῦτο πνεῦμα,
ἀλλ' οὐκ ἐκ τούτου ἔχειν τὴν ὕπαρξιν,
δι' αὐτοῦ δὲ δίδοσθαι πιστοῖς
σὺ ἐθεολόγησας,
Ἰωάννη τρισόλβιε.

Θ. Ὁ μέγας προέγραψε
Μωσῆς τὸ σὸν μυστήριον,

Heirm. ε′ EE 100, n. 141, Joannis

110-111 Ac. 9: 15

www.tezaurliturgic.ro

στάμνον τε καὶ πλάκα καὶ λυχνίαν
καὶ κιβωτὸν ποιήσας καὶ τράπεζαν,
ἐν οἷς ἐξεικόνιζε τὴν σὴν
λοχείαν τὴν ἄσπορον,
Θεοτόκε πανύμνητε.

F. 119v **Ὠδὴ ἕκτη. Ἐβόησε**

Νοήσεως
καὶ σοφίας πλησθεὶς διὰ πνεύματος,
ἀρχιτέκτων
τῆς σκηνῆς τῷ Θεῷ ἐχρημάτισας
καὶ τὴν ἐκκλησίαν
ὀρθοδόξοις ἐκόσμησας δόγμασιν.

Ὑπέμεινας
ἐπιτίμιον λόγου σοφώτατα,
σιωπήσας
ἐπὶ πλεῖστον πατέρων προστάγματι,
ἕως οὗ πρὸς ὕμνους
ἡ παρθένος τὴν σὴν γλῶτταν ἤγειρεν.

Μυήσεσι
θειοτέραις τὸν νοῦν ἐλλαμπόμενος
καὶ δυνάμει
τῇ τοῦ λόγου τὴν γλῶτταν στομούμενος,
ἀκριβῶς ἐξέθου
τὰ τῆς πίστεως μυστήρια.

Θ. Νικήσασα
τοὺς τῆς φύσεως νόμους τῷ τόκῳ σου,
Θεοτόκε,
παραδόξως κοπεῖσαν συνήρμοσας

Heirm. ς′ EE 125, n. 172, Εἰς τὴν προσκύνησιν τοῦ τιμίου σταυροῦ

133 στάμνος Ex. 16: 33 πλάκα Ex. 31: 18 λυχνία Ex. 38: 13-17
134 κιβωτός Ex. 38: 1-8 τράπεζα Ex. 38: 9-12

τοῦ σοφοῦ τὴν χεῖρα
καὶ πρὸς ὕμνους τοὺς σοὺς συνεκρότησας.

Κοντάκιον. *Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια*

Τὸ τῆς σοφίας ἱερὸν καὶ θεῖον τέμενος
καὶ τῆς ἁγνείας καθαρὸν κατοικητήριον
συνελθόντες εὐφημήσωμεν ἐπαξίως
Ἰωάννην τὸν θεόπνευστον, ἐν ᾄσμασι
τοῖς οἰκείοις προσφυῶς αὐτὸν γεραίροντες,
καὶ βοήσωμεν·
«χαίροις, πάτερ παγκόσμιε».

Ὁ οἶκος. *<Ἄγγελος πρωτοστάτης>*

Ἄγγελος μὲν τὸ χαῖρε
παραστὰς προσεφώνει
ποτὲ τῇ Θεοτόκῳ σὺν φόβῳ,
σὲ δὲ ἐκ τῶν ἀνθρώπων ὁρῶν
χρηματίσαντα ταῖς ἀρεταῖς ἄγγελον,
ἐξίσταμαι τῷ θαύματι
καὶ χαίρειν προσφωνῶ σοι, πάτερ·
χαῖρε, σοφίας ἁγνὸν δοχεῖον,
χαῖρε, τοῦ λόγου λαμπρὸν ταμεῖον,
χαῖρε, διδασκάλων ἐνθέων ἐκσφράγισμα,
χαῖρε, θεολόγων πατέρων συνήγορε,
χαῖρε, ὕψος δυσθεώρητον θεωρίας ἀκραιφνοῦς,
χαῖρε, πλάτος πολυποίκιλον ἐμπειρίας πρακτικῆς,
χαῖρε, ὅτι κατάγχεις τὰς λυσσώδεις αἱρέσεις,
χαιρε, ὅτι τὴν κτίσιν ἐν τοῖς ᾄσμασι τέρπεις,
χαῖρε, ἀστὴρ αὐγάζων τοῖς πέρασι,

Heirm. cont. ER 467 **Heirm. oec.** HR 279

169-171 Lu. 1: 28

www.tezaurliturgic.ro

χαῖρε, λαμπτὴρ τοῦ φέγγους τῆς γνώσεως,
F. 120 χαῖρε, δι' οὗ ἐκκλησία κοσμεῖται,
χαῖρε, δι' οὗ Δαμασκὸς μέγα χαίρει,
χαίροις, πάτερ παγκόσμιε.

Ὠδὴ ἑβδόμη. Ὁ διασώσας ἐν πυρί

Ὡς ἀσκητῶν ὑπογραμμόν
καὶ θεολογίας κανόνα
καὶ ὑμνολόγων ἱερῶν
ἀρχηγὸν καὶ θεμέλιον ἔχοντες,
εὐφημοῦμέν σε, ὅσιε,
τὸ κατάλληλόν σοι χρέος ἀποπληροῦντες.

Κεκοσμημένος εὐπρεπῶς
τῆς δικαιοσύνης στεφάνῳ
ὡς τὸν ἀγῶνα τὸν καλὸν
ἐκτελέσας, Κυρίῳ παρίστασαι,
Ἰωάννη μακάριε,
τῆς ἀΰλου θεαυγείας ἐπαπολαύων.

Ἵνα γνωρίσῃ σε Θεὸς
πᾶσι τοῖς ἐν κόσμῳ φωστῆρα,
λόγον ἐπέχοντα ζωῆς,
ἀνατεῖλαι σε, μάκαρ, εὐδόκησεν,
Ἰωάννη θεόπνευστε,
Δαμασκόθεν ὥσπερ Παῦλον ποτὲ τὸν μέγαν.

Θ. Θεοποιεῖ με διὰ σοῦ,
φύσιν τὴν ἐμήν, Θεοτόκε,
ἀναλλοιώτως προσλαβὼν
ὁ υἱὸς τοῦ Θεοῦ ὁ παντέλειος,
ὡς ἐδίδαξεν ἄριστα
τὸ μυστήριον ὁ ἔνθεος Ἰωάννης.

Heirm. ζ′ EE 101, n. 142, Cosmae **201** ex γνωρίζῃ corr. γνωρίσῃ Je in D **207** θεοποιεῖ correxi acrostichidis causa: νεοποιεῖ Je in D

189 I Pe. 2: 21 **196-198** II Ti. 4: 7-8 **204- 206** Ac. 9: 1-9

Ὠδὴ ὀγδόη. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ

Αἴρουσα φωνὰς ἱκετηρίους
ἡ πόλις, ἡ βασιλεύουσα τῶν πόλεων,
ὅσιε, κραυγάζει σοι·
«ὥσπερ σου τὸ λείψανον
τὸ ἱερὸν καὶ τίμιον
ἐμοὶ παρέθηκας,
ὡσαύτως καὶ τὴν θεολογίαν
δός μοι διασῴζειν
τὴν σὴν εἰς τοὺς αἰῶνας».

Ῥήματα ζωῆς τῆς αἰωνίου,
θεόφρον, ἡ σὴ καρδία ἐξηρεύξατο,
μέλη παναρμόνια
ἔβλυσεν ἡ γλῶσσα σου,
διαπρεπῆ, σειρήνια,
ψυχῶν ἰάματα,
δογμάτων ἀνεξάντλητα ῥεῖθρα
καὶ θεολογίας
ὑπερχειλεῖς κρατῆρας.

Ἄναρχον, ἀΐδιον τριάδα,
πατέρα τε καὶ υἱὸν καὶ πνεῦμα ἅγιον
σὺ ἐθεολόγησας,
F. 120v Ἰωάννη ὅσιε,
πατέρα μὲν ἀναίτιον
(οὐδὲ γὰρ ἐκ τινος),
υἱὸν δὲ τοῦ πατρὸς προελθόντα
καὶ τὸ θεῖον πνεῦμα
ἐκ τοῦ πατρὸς καὶ μόνου.

Θ. Νεῦσον ταῖς πρεσβείαις καὶ τοῖς ὕμνοις
τοῦ μάκαρος Ἰωάννου, παμμακάριστε,
φύλαττε τὴν πόλιν σου

Heirm. η′ EE 100, n. 141, Joannis

222 Jno. 6: 68

www.tezaurliturgic.ro

ταύτην, τὴν κατέχουσαν
τὴν ἱερὰν εἰκόνα σου
ὡς πλοῦτον ἄσυλον
καὶ τούτου τὸ πολύαθλον σῶμα,
ῥεῖθρα ἰαμάτων
ἐκβλύζον τοῖς ποθοῦσιν.

Ὠδὴ ἑνάτη. Ἅπας γηγενὴς

Μάρτυσι Χριστοῦ
συμμέτοχος γέγονας, τὴν δεξιὰν ἐκτμηθείς
διὰ τὴν προσκύνησιν
τῶν σεβασμίων εἰκόνων, ὅσιε,
καὶ ἀσκητῶν συνόμιλος
καὶ ἱερέων κανών,
διδασκάλων
θεῖον ἀκροθίνιον
καὶ ἁγίων πατέρων συνήγορος.

Ἆρας τὸν σταυρὸν
ἐπ' ὤμων, μακάριε, ἐπηκολούθησας
τῷ καθυπομείναντι
σταυρὸν καὶ θάνατον ἐπονείδιστον
καὶ σὺν αὐτῷ δεδόξασαι
ἐν οὐρανοῖς ἀληθῶς,
ἀπολαύων
τῆς λαμπρᾶς θεώσεως
καὶ τῆς αἴγλης αὐτοῦ ἐμφορούμενος.

Ῥεῦμα πλημμυροῦν
ὁ φθόγγος διέδραμεν ὁ σὸς τὰ πέρατα,
ἅπασαν κακόσχολον
οἰκοδομίαν λύων αἱρέσεως
καὶ καταστρέφων δόγματα

Heirm. θ' EE 100, n. 141, Joannis

258-259 Mat. 16: 24 **268** Ro. 10: 18

πλάνης ἀνίδρυτα
καὶ ποτίζων
ὡς ὡραίαν ἄμπελον
τὴν Χριστοῦ ἐκκλησίαν, πανόλβιε.

Κράτος κατ' ἐχθρῶν
τοὺς λόγους σου κέκτηται ἡ ἐκκλησία Χριστοῦ,
ἡ δὲ βασιλεύουσα
πασῶν τῶν πόλεων ὡραΐζεται
τὸ ἱερόν σου λείψανον
ἔνδον κατέχουσα,
ἰαμάτων
θησαυρὸν ἀκένωτον
καὶ πηγὴν χαρισμάτων ἀνέκλειπτον.

Ὅλον ἐμαυτὸν
συνδήσας τῷ πόθῳ σου, πάτερ ἀοίδιμε,
F. 121 καὶ τοῖς σοῖς πονήμασι
διαφερόντως ἐνηδυνόμενος,
οἷα μικρὸν ἀντίδωρον
τοῦτον τὸν ὕμνον σοι
προσκομίζω·
τὰ σὰ οὖν δεξάμενος
ἐκ τῶν σῶν τὴν σὴν χάριν ἀντίδος μοι.

Θ. Σὲ μετὰ Θεόν
οἱ δοῦλοι σου, δέσποινα, προστάτιν ἔχομεν,
σοι προσανατίθεμεν
τὴν σωτηρίαν ταύτης τῆς πόλεως,
ἣν κατοικεῖν εὐδόκησας
σὺν τῷ οἰκέτῃ σου
Ἰωάννῃ,
τῷ σὲ μεγαλύναντι
καὶ λαμπροῖς ἐγκωμίοις τιμήσαντι.

274 Cfr. Jno. 15: 1

www.tezaurliturgic.ro

XII[a]. Ἐξαποστειλάριον. *Τοῖς μαθηταῖς συνέλθωμεν*

Τὴν τῶν πατέρων ἔνθεον,
μάκαρ, φιλοσοφίαν
τοῖς σοῖς λόγοις ἐκύρωσας,
ὥσπερ δὴ καὶ τοῖς ἔργοις,
ὡς θεῖον ἄγαλμα στήσας
πᾶσι τοῖς βουλομένοις
ἀρχέτυπον, εἰς μίμησιν
προτιθείς, θεοφόρε·
διό σου νῦν
τὴν λαμπρὰν καὶ εὔσημον καὶ ἁγίαν
ἡμέραν τῆς κοιμήσεως
ἐπαξίως τιμῶμεν.

XII[b]. Θεοτοκίον.

Ὁ τῶν ἁπάντων Κύριος
ἐξ ἁγίας γαστρός σου
σωματωθείς, ἐπέφανε
τοῖς ἐν σκότει τοῦ βίου,
πανύμνητε Θεοτόκε,
πάντας τοὺς ὑπευθύνους
λυτρούμενος ὡς εὔσπλαγχνος
τῆς ἀρχαίας κατάρας
τῆς τοῦ Ἀδάμ·
διὸ πίστει, δέσποινα, δυσωπῶ σε·
κἀμοὶ τοῦτον εὐίλατον
σαῖς πρεσβείαις παράσχου.

Heirm. exap. MR I 22

15-16 Lu. 1: 79.

F. 121[v]

XII[c]. Ἦχος δ'.
Ὁ ἐξ ὑψίστου κληθεὶς οὐκ ἀπ' ἀνθρώπων

Ὁ τῷ ἀΰλῳ φωτὶ περιαστράψας
τὸν Παῦλον ἐρχόμενον εἰς Δαμασκὸν ἐκ Σιὼν
καὶ ἀποστείλας τοῖς ἔθνεσιν
ἀντὶ διώκτου
μέγιστον κήρυκα καὶ ἀπόστολον,
αὐτός σε ἐκάλεσεν ἐκ Δαμασκοῦ πρὸς Σιών,
φωτὶ τῷ θείῳ λαμπόμενον
θεολογίας
τῆς ἀνωτάτω θεῖον διδάσκαλον,
τῆς ἐκκλησίας
νυμφοστόλον
καὶ ὑμνολόγον
καὶ ἔνθεον κήρυκα,
Ἰωάννη θεόφρον,
Δαμασκοῦ τὸ ἐγκαλλώπισμα.

*

* *

Heirm. troparii HR 166 Hoc troparium post troparia Je f. 121[v] cod. D invenitur, his verbis praescriptis: Ἐκ τῶν τοῦ ἁγίου τοῦ Ἐφέσου καὶ τοῦτο

6-7 Ac. 9: 1-9

www.tezaurliturgic.ro

XIV. Μηνὶ Νοεμβρίῳ ΚΗ'.
Στιχηρὰ εἰς τὸν ἅγιον Συμεὼν τὸν Μεταφραστήν.

Ἦχος πλάγιος β'. Ὅλην ἀποθέμενοι

F. 150v Ὅλην τὴν διάνοιαν
τῶν ὁρωμένων ἐξάρας
καὶ τοῖς ὑπὲρ αἴσθησιν
προσηλώσας, ὅσιε, ἐκ νεότητος,
κοσμικοῖς πράγμασι
καὶ μεγέθει δόξης
οὐκ ἐκάμφθης τὴν προαίρεσιν,
οὐδὲ ὑπέδωκας,
τοῦ τῆς ἀρετῆς ἀξιώματος
ὡς πάντων ὑπερέχοντος·
F. 151 ὅθεν φῶς τοῦ κόσμου γεγένησαι
πόλις τε κειμένη
λαμπρῶς ἐπ' ἀκρωρείας ὑψηλῆς,
ταῖς ἀστραπαῖς ταῖς τοῦ βίου σου
φωτίζων τὰ πέρατα.

Ὅμοιον.

Θείοις θεωρήμασι
καὶ ἐπιστήμῃ τῶν ὄντων
ἐμφιλοσοφώτατα
τὴν τοῦ νοῦ κατάστασιν διεφαίδρυνας,
Συμεὼν ὅσιε,
καὶ δυνάμει λόγου
τὰς τῆς γλώττης ἐξευγένισας
ἀμάχους ἴυγγας·
ὅθεν τῶν μαρτύρων τὰ τρόπαια
καὶ βίους καὶ τὰ θαύματα
καὶ ὑπερφυῆ κατορθώματα
τῶν θείων πατέρων

Heirm. stich. ER 281

11-13 Mat. 5: 14

καὶ λόγους διδασκάλων ἱεροὺς
τῇ ἐκκλησίᾳ συνέταξας
ἐν πανσόφοις φράσεσιν.

Ὅμοιον.

Τὰ κάτω βασίλεια
καὶ τῆς συγκλήτου τὸ κλέος
κοσμήσας, ἀοίδιμε,
πρὸς τὴν θείαν σύγκλητον μεταβέβηκας,
μοναστῶν σχήματι
ἱερῶς ἐμπρέψας
καὶ ἀγγέλοις ὁμοδίαιτος
ἐν γῇ γενόμενος·
καὶ νῦν πρὸς τὰ ἄνω βασίλεια
καὶ πόλιν τὴν οὐράνιον
ἐκδεδημηκώς, καθικέτευε
τὸν κοινὸν δεσπότην
ἰσχὺν τροπαιοφόρον κατ' ἐχθρῶν
τοῖς βασιλεῦσι δωρήσασθαι,
Συμεὼν πανόλβιε.

Ὅμοιον.

Ἅπαντες οἱ ἅγιοι
τὴν παναγίαν ψυχήν σου
σὺν ἀγγέλων τάγμασι
πρὸς Θεὸν ἀπαίρουσαν ὑπεδέξαντο,
ἱερῶς ᾄδοντες,
ἱλαρῶς χαίροντες,
ὧν ταῖς μνείαις ἐκοινώνησας,
ὧν τὰ παλαίσματα
F. 151v καὶ τὰ θαυμαστὰ ἀριστεύματα
τοῖς λόγοις διεκόσμησας·
οὗς συμπρεσβευτὰς προσλαβόμενος
ἐκτενῶς δυσώπει
τὸν φύσει μεγαλόδωρον Θεὸν
ταῖς ἐκκλησίαις ὁμόνοιαν,
ὅσιε, δωρήσασθαι.

www.tezaurliturgic.ro

Δόξα. Ἰδιόμελον. Ἦχος πλάγιος β'.

Τοὺς τιμηθέντας ἁγίους παρὰ σοῦ τοῖς ἐπαίνοις
νῦν ὡς ἀληθῶς προσῆκε
τὴν εὐφημίαν σοι, θεοφόρε, συμπληροῦν·
ἀλλὰ παρ᾽ ἐκείνων μὲν τὴν ἀμοιβὴν ἀξίαν ἐν οὐρανοῖς
[ἀπέχεις,
σὺν αὐτοῖς εἰς αἰῶνας τῷ βασιλικῷ θρόνῳ παριστάμενος,
ἡ ἐκκλησία δὲ τοῖς λόγοις σου ὡραϊζομένη,
διαπρεπῶς τὴν μνήμην σου ἑορτάζουσα, κραυγάζει σοι·
«χαίροις,
ὁ τῶν θείων μαρτύρων τῇ προαιρέσει κοινωνός,
ὡς γνησίως αὐτοὺς μακαρίσας
καὶ τῆς αὐτῆς ἐκείνοις δόξης ἠξιωμένος,
χαίροις,
ὁ τῶν ὁσίων πατέρων τοὺς ὑπὲρ φύσιν ἀγῶνας
ἐκφράσας ἅμα καὶ μιμησάμενος,
χαίροις,
θεολόγων καὶ διδασκάλων ἀκριβὲς ἐκμαγεῖον·
μεθ᾽ ὧν δυσώπει, πανόλβιε Συμεών, τὸν τῶν ὅλων Θεὸν
εἰρηνεῦσαι τὸν κόσμον καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.»

Ἀπολυτίκιον. Ἦχος δ'. <Ὀρθοδοξίας ὁδηγέ>

Ὀρθοδοξίας ὁδηγέ,
εὐσεβείας διδάσκαλε,
τῆς οἰκουμένης ὁ φωστήρ,
τῶν λογογράφων θεόπνευστον ἐγκαλλώπισμα,
λύρα τοῦ πνεύματος,
ταῖς συγγραφαῖς σου πάντας ἐφώτισας,
Συμεών, πατὴρ ἡμῶν·
πρέσβευε Χριστῷ τῷ Θεῷ
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Heirm. apolyt. HR 140. Nullum initium heirm. refert Me in D

F. 152

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς
Τὸν κλεινὸν ὑμνῶ Συμεώνην τὸν πάνυ, Μάρκος.

Ὠδὴ πρώτη. Ἦχος πλάγιος δ'.
Ἁρματηλάτην Φαραὼ ἐβύθισε

Τῆς ἐκκλησίας τὸν φαιδρὸν κοσμήτορα,
σὲ ἀνυμνῶ, Συμεών,
τὸ μελιχρὸν στόμα,
τὸν γενναῖον ῥήτορα,
τὸν ὑψηλὸν φιλόσοφον,
τὸν τοῦ κόσμου φωστῆρα,
τῶν μοναζόντων τὸ καύχημα,
τὸν τῶν ἀσωμάτων συνόμιλον.

Ὁ προγινώσκων τοὺς αὐτοῦ θεράποντας
καὶ προορίζων Θεός,
κοινωφελὲς δῶρον,
ἀγαθὸν παγκόσμιον,
τῷ βίῳ σε παρήγαγεν
ἐπ᾽ ἐσχάτων τῶν χρόνων,
τοὺς προλαβόντας μιμούμενον
καὶ τὰς τούτων πράξεις συγγράφοντα.

Νεανικῶς τοῦ τῆς σαρκὸς φρονήματος
ἐν τῇ νεότητι
κατακρατῶν, πάτερ,
σκεῦος ἁγιότητος,
δοχεῖον θείας χάριτος
σεαυτὸν ἀπειργάσω,
τῇ παρθενίᾳ κοσμούμενος
καὶ τῇ ἀπαθείᾳ λαμπόμενος.

Heirm. α′ EE 219, n. 314, Joannis

96 Ro. 8: 29

www.tezaurliturgic.ro

Θ. Κεκοσμημένη διαχρύσοις κάλλεσιν
ἱματισμοῦ ἀρετῶν
ὡς βασιλίς, κόρη,
βασιλεῖ παρέστηκας
τῷ αἰωνίῳ, δέσποινα,
μητρικῇ παρρησίᾳ
τοῖς σὲ πιστῶς μεγαλύνουσιν
ἐξιλεουμένη τὸν εὔσπλαγχνον.

Ὠδὴ τρίτη. Ὁ στερεώσας κατ' ἀρχάς

Λόγου δυνάμει στομωθεὶς
καὶ ἐπιστήμῃ τῶν ὄντων
τὴν διάνοιαν σοφῶς ἐκλαμπρύνας,
ὡς γενναῖος ἀθλητὴς
τῆς σεαυτοῦ δυνάμεως
αἰσθόμενος, ἐντεῦθεν
ταῖς πράξεσι προσεχώρησας.

Ἐπὶ λυχνίαν ὑψηλὴν
ὡς φωτεινότατος λύχνος,
F. 152v ἐπὶ ὄρους ὡς ἐπίσημος πόλις
τεθειμένος εὐκλεῶς,
ἐν βασιλείοις ἔλαμψας,
ταῖς ἀρεταῖς ἐν κύκλῳ
δορυφορούμενος, ἅγιε.

Ἵνα ποιήσῃς ἐκφανές,
ὅτι τὸ φεύγειν τὸν κόσμον
ἀγεννῶν ἐστι ψυχῶν, ἐν τῷ κόσμῳ
καὶ τοῖς πράγμασιν αὐτὸς
ὑπερκοσμίως ἔζησας,
φιλοσοφίαν ἄκραν
ὑπερφυῶς ἐνδεικνύμενος.

Heirm. γ′ EE 219, n. 314, Joannis

112- 115 Cfr. III Ki. 10: 2 **127-130** Mat. 5: 14-16

Θ. Νέον ἐγέννησας υἱόν,
τὸν προαιώνιον λόγον
τοῦ Θεοῦ τοῦ ἀοράτου, παρθένε,
καὶ ὡς τόμος καθαρὸς
γραφέντα σοι τὸν ἄγραφον
τοῖς ἐν σκιᾷ θανάτου
πρὶν καθημένοις ὑπέδειξας.

Κάθισμα. Ἦχος πλάγιος δ′.
Τὴν σοφίαν καὶ λόγον ἐν σῇ γαστρί

Τὴν σοφίαν ζητήσας ἐπιμελῶς
ἐκ νεότητος, ἅγιε Συμεών,
συνήφθης τῷ ἔρωτι
πρὸς αὐτὴν ἀδιάρρηκτα
καὶ ἐστεφάνωσέ σε
τῷ στέφει τῆς χάριτος
καὶ ζηλωτὸν τοῖς πᾶσι
δικαίως ἀνέδειξεν·
ὅθεν τῶν ἁγίων
πολιτείας καὶ βίους
πανσόφως ἐκθέμενος
καὶ συγγράψας, μακάριε,
τῆς αὐτῆς ἀναρρήσεως
ἔτυχες, πρεσβεύων Χριστῷ
τῶν πταισμάτων ἄφεσιν <δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου>

Ὠδὴ τετάρτη. *Σύ μου, Χριστέ*

Ὁ εὐγενὴς
καὶ τὴν ἀξίαν ὑπέρλαμπρος
ἐννοήσας
τὴν ὄντως εὐγένειαν

Heirm. cath. MR I 9 Heirm. δ′ EE 219, n. 314, Joannis
162-163 post ἄφεσιν orat. intermittitur; vv. supplevi anctoritate heirm.

144 Is. 8: 1 **146 - 147** Lu. 1: 79 **148-149** Wi. 8: 2

www.tezaurliturgic.ro

καὶ τῆς ψυχῆς τὸ θεοειδές,
σκύβαλα ἡγήσω
τὰ ἐν τῷ κόσμῳ τιμώμενα·
διὸ τῆς βασιλείας
κοινωνόν σε τῆς ἄνω
ὁ τῶν ὅλων δεσπότης προσέλαβεν.

Νόμῳ Θεοῦ
ἐμμελετήσας, πανόλβιε,
καὶ τὰς θείας
ἐντολὰς δεξάμενος
ὡς ἐν πλαξὶ
λείαις καθαραῖς
ψυχῇ καὶ καρδίᾳ,
F. 153 ὡς νομοθέτης πιστότατος
καὶ θεῖος λογοθέτης
ἀκριβῶς καὶ δικαίως
τὰ Ῥωμαίων διῴκησας πράγματα.

Ὑπὸ Θεοῦ
κεκινημένος, τὰς χάριτας
τῶν σῶν λόγων
ἐφῆκας ταῖς πράξεσι
καὶ πολιτείαις ταῖς ἱεραῖς
τῶν διαπρεψάντων
ἐν ἁγιότητι πρότερον
μαρτύρων καὶ ὁσίων
καὶ σοφῶν διδασκάλων,
ὧν κατ' ἴχνος ἐβάδισας, ὅσιε.

Θ. Μόνῃ ἐν σοὶ
νόμοι καινίζονται φύσεως,
μόνη τίκτεις
βρέφος θεῖον ἄσπορον,
τὸν πρὸ αἰώνων ἐκ τοῦ πατρὸς
ὑπὲρ νοῦν καὶ λόγον
ἐξανατείλαντα, πάναγνε·
διό σε μεγαλύνων

168-169 Phi. 3: 8 **173-174** Ps. 1: 2; 118: 70 **176-179** Ex. 31: 18

ὁ σοφὸς Συμεώνης
ὡραΐζεται λόγων ταῖς χάρισιν.

Ὠδὴ πέμπτη. Ἵνα τί με ἀπώσω

Νοερὰν ἡσυχίαν
ἐν περισπωμένῳ ποικίλως τῷ σώματι
κατορθῶν, θεόφρον,
τοὺς ἐνθέους οἰκείως μετέφρασας
Μακαρίου λόγους, τοῦ ἀληθῶς τρισμακαρίου,
συγκοσμήσας τῆς τέχνης τῇ χάριτι.

Ὡς σοφὸς καὶ ἀγχίνους
πρέσβις πρὸς τοὺς Ἄραβας, μάκαρ, στελλόμενος,
τὸ καλὸν καὶ θεῖον
Θεοκτίστης τῆς θείας διήγημα
ἐν παρέργῳ φέρων τῇ ἐκκλησίᾳ συνετάξω,
τοῦτο πρῶτον τῶν σῶν καὶ ἐξαίρετον.

Συλλαβὼν τὰς δυνάμεις
τῆς ψυχῆς ἐπέστησας ταῖς σαῖς αἰσθήσεσι
πυλωροὺς ἀγρύπνους
ὡς μηδὲν τῶν ἀτόπων εἰσέρχεσθαι,
F. 153v νοῦν τὸν βασιλέα περιφρουρῶν ὡς ἐν ἀδύτῳ
θεωρήμασι θείοις τερπόμενον.

Θ. Ὑπ' ἀγγέλων ἁγίων
ἀγγελοπρεπέσιν ᾠδαῖς εὐφημεῖσθαι σε,
τὴν ἁγνὴν μητέρα,
ὁ υἱός σου, παρθένε, εὐδόκησεν,
ὁ τὸν ἄνω κόσμον ὡς ἀγαθὸς δημιουργήσας
καὶ τὸν κάτω συνάψας αὐτῷ διὰ σοῦ.

Heirm. ε' EE 219, n. 314, Joannis
210 πρέσβις (sic) Me in D

www.tezaurliturgic.ro

Ὠδὴ ἕκτη. Ἄβυσσος ἁμαρτιῶν

Μάρτυρας καὶ ἀσκητὰς
μακαρίσας, θεοφόρε, γνησίως
καὶ τοὺς αὐτῶν ἀγῶνας
τοῖς σοῖς λόγοις ἐκθέμενος
καὶ ὑπ' ὄψιν ἀγαγών,
γέγονας μάρτυς τῇ προαιρέσει
καὶ τῆς αὐτῆς δόξης συμμέτοχος.

Ἔλεον τὸν τοῦ Θεοῦ
Συμεὼν ὁ θεοφόρος ζηλώσας,
οὐχ ὑπερεῖδε ξένον,
οὐ πτωχόν, οὐκ ἀνέστιον,
ἀλλὰ πᾶσιν ἡ αὐτοῦ
ἤνοικτο θύρα τοῖς δεομένοις,
ὥσπερ Ἰὼβ ὁ μέγας εἴρηκεν.

Ὥσπερ μέγας ἀετὸς
ὑψιπέτης τῇ δυνάμει τοῦ λόγου
τοῖς ὑψηλοῖς τὴν γνῶσιν
θαυμαστῶς ἐπαιρόμενος
καὶ ποικίλως κελαδῶν,
αὖθις κατέρχῃ τοῖς ἁπλουστέροις,
ὡς ἀμφοτέροις εἶναι χρήσιμος.

Θ. Νέμων σοι τὴν ἀμοιβὴν
ὁ κλεινὸς μεταφραστής, θεοτόκε,
τῆς εἰς αὐτὸν προνοίας,
τὰ σὰ θαύματα ἄνωθεν
ἐκ γενέσεως αὐτῆς
μέχρι κοιμήσεως ἀναγράφει
διαφερόντως θαυμαζόμενος.

Heirm. ς' EE 222, n. 318, Joannis

238-239 Jb. 31: 32

Κοντάκιον. Ἦχος πλάγιος δ'.
Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια

Τῆς βασιλίδος τὸ λαμπρὸν θρέμμα καὶ γέννημα,
τῆς οἰκουμένης τὸ ὡραῖον ἐγκαλλώπισμα,
F. 154 Συμεὼν ὁ θεηγόρος ἀνευφημείσθω·
ὡς γὰρ ἄσαρκος ἐν κόσμῳ πεπολίτευται
καὶ τὴν κτίσιν θείοις λόγοις κατεφαίδρυνε·
διὸ κράζομεν· «χαίροις, πάτερ παγκόσμιε.»

Ὁ οἶκος. <Ἄγγελος πρωτοστάτης>

Ἄγγελος μὲν τὸ «χαῖρε»
παραστὰς προσεφώνει
ποτὲ τῇ Θεοτόκῳ σὺν φόβῳ,
σὲ δὲ ἐκ τῶν ἀνθρώπων ὁρῶν
ὑπὲρ φύσιν χρηματίσαντα ἄγγελον,
ἐξίσταμαι ὡς ἄνθρωπος
καὶ ἵσταμαι βοῶν σοι, πάτερ·
«χαῖρε, σοφίας ἁγνὸν δοχεῖον,
χαῖρε, τῶν λόγων λαμπρὸν ταμεῖον,
χαῖρε, διδασκάλων ἐνθέων ἐκσφράγισμα,
χαῖρε, θεολόγων πατέρων συνήγορε,
χαῖρε, ὕψος δυσθεώρητον θεωρίας ἀκραιφνοῦς,
χαῖρε, πλάτος πολυποίκιλον ἐμπειρίας πρακτικῆς,
χαῖρε, ὅτι τὰς πράξεις τῶν ἁγίων συγγράφεις,
χαῖρε, ὅτι τὸν κόσμον τοῖς σοῖς λόγοις εὐφραίνεις,
χαῖρε, ἀστὴρ αὐγάζων τοῖς πέρασι,
χαῖρε, λαμπτὴρ τοῦ φέγγους τῆς γνώσεως,
χαῖρε, δι' οὗ ἐκκλησία κοσμεῖται,
χαῖρε, δι' οὗ βασιλεία τιμᾶται,
χαῖρε, πάτερ παγκόσμιε.»

Heirm. cont. ER 467

Heirm. oec. HR 279 Initium heirmi tacitus praeterit Me in D

www.tezaurliturgic.ro

Ὠδὴ ἑβδόμη. *Θεοῦ συγκατάβασιν*

Ἡ *πάντων δεσπόζουσα*
τῶν γεγονότων ἀρχικωτάτη τριὰς
τοῖς σοφοῖς θεολόγοις
καὶ διδασκάλοις καὶ σὲ συνέταξε,
τὰς διαλέξεις
αὐτῶν ἐκτιθέμενον
καὶ τοὺς ἀγῶνας λαμπρᾷ φωνῇ κηρύττοντα.

Νοὸς *σταθερότητι*
καὶ ἐμβριθείᾳ σοφοῦ φρονήματος
ἐν τῷ λέγειν καὶ πράττειν
F. 154^{v} *ἀμφιδεξίως προσμεριζόμενος,*
οὐκ ἐνεδίδους,
ἀρκῶν ἐπ᾽ ἀμφότερα
καὶ μεταβαίνων εὐκαίρως ἐφ᾽ ἑκάτερον.

Τὸν *μέγαν ἐν πράξεσι*
καὶ ἐν τοῖς λόγοις τὰ πρῶτα φέροντα,
τῆς συγκλήτου τὸ κλέος,
τῶν μοναζόντων τὸ σεμνολόγημα,
τῆς ἐκκλησίας
τὸ θεῖον καλλώπισμα,
τὸν θαυμαστὸν Συμεὼν ἀνευφημήσωμεν.

Θ. Ὁ *λόγος ὁ ἄναρχος*
ἀρχὴν λαμβάνει τὴν καθ᾽ ἡμᾶς ἀπὸ σοῦ
καὶ ὁρᾶται ἀνθρώποις
καὶ θαυμασίως συναναστρέφεται,
τὸ γένος ἅπαν
τῆς πλάνης λυτρούμενος,
εὐλογημένη ἁγνή, ὁ τῶν πατέρων Θεός.

Heirm. ζ′ EE 219, n. 314, Joannis

Ὠδὴ ὀγδόη. *Ἑπταπλασίως κάμινον*

Νενικηκὼς *τὰς φάλαγγας*
τοῦ δεινοῦ κοσμοκράτορος
ἐν αὐτῷ τῷ κόσμῳ καὶ λαμπρὸν τὸ τρόπαιον
ἐγείρας, ἐφ᾽ ἕτερα
μεταβεβήκεις σκάμματα,
τοὺς τῶν μοναστῶν ἐπανελόμενος ἄθλους·
διὸ ἐν ἀμφοτέροις
ἀριστεύσας νομίμως,
διπλοῦς καὶ τοὺς στεφάνους
ἀξίως ἐκομίσω.

Περιφανὴς *γενόμενος*
ἐν τῷ βίῳ, μακάριε,
περιφανεστέραν μετὰ πότμον εὔκλειαν
ἐκτήσω, τοῖς λόγοις σου
τὴν οἰκουμένην πᾶσαν πληρῶν
καὶ τὰς ἱερὰς κατακοσμῶν ἐκκλησίας,
λαοὺς πιστοὺς εὐφραίνων,
ἱερεῖς καταρτίζων
ψυχάς τε τῷ δεσπότῃ
προσάγων σεσωσμένας.

Ἀναλαβὼν *τὰ θαύματα*
καὶ τὰς πράξεις, θεόπνευστε,
καὶ τῶν πειρασμῶν τὰς ἀφορήτους λαίλαπας
καὶ λόγων τὰς χάριτας
F. 155 *τοῦ καὶ ψυχὴν καὶ γλῶτταν χρυσοῦ,*
φράσει διατόρῳ καὶ βροντώσῃ συνθήκῃ
διήγγειλας ἀξίως,
ἰδεῶν ἀφθονίᾳ
καὶ σχήμασι ποικίλοις
τὸν λόγον ὡραΐσας.

Νεανικῶς *ἱστάμενος*

Heirm. η′ EE 219, n. 314, Joannis

310-311 Eph. 6: 12 **316** Cfr. I Ti. 1: 8

www.tezaurliturgic.ro

πρὸς τὴν ἄθεσμον αἵρεσιν
τῶν εἰκονομάχων, τὰ πολλὰ παθήματα
καὶ βίον καὶ θαύματα
τοῦ ἱεροῦ Στεφάνου λαμπρῷ
λόγῳ διαγράφεις καὶ συμπάσχεις ἀξίως·
διὸ τὴν ἀμοιβήν σοι
πρὸς ἀξίαν παρέσχε,
καθ' ἣν ἐτελειώθη
ἡμέραν προσλαβών σε.

Θ. Ὑπὸ πολλῶν κυκλούμενοι
συμφορῶν, παμμακάριστε,
σοὶ τὰς ἑαυτῶν ἐλπίδας ἀνατίθεμεν·
τὴν πόλιν σου φύλαττε
ἀπὸ λιμοῦ, λοιμοῦ καὶ σεισμοῦ,
πυρὸς καὶ μαχαίρας καὶ ἐθνῶν ἀλλοφύλων
καὶ μάχης ἐμφυλίου,
τὸ γλυκὺ ταύτης θρέμμα,
τὸν θεῖον Συμεώνην
προσδεχομένη πρέσβιν.

Ὠδὴ ἑνάτη. Ἑξέστη ἐπὶ τούτῳ ὁ οὐρανός

Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ,
ἐν τῷ νόμῳ Κυρίου βαδίζοντες·
σὺ δέ, σοφέ,
πάντα περιέσχες μακαρισμόν
ὡς ταπεινὸς γενόμενος,
δίκαιος καὶ πρᾶος καὶ πενθητὴς
καὶ μέγας ἐλεήμων
καὶ πρύτανις εἰρήνης
καὶ καθαρὸς ψυχῇ καὶ σώματι.

Ἄϋλων ἀσωμάτων παρεμβολαὶ
καὶ ἁγίων ἁπάντων τὰ τάγματα

Heirm. θ′ EE 220, n. 314, Joannis **358** πρέσβιν (sic) Me in D

352-355 GE 613 **359-360** Ps. 118: 1 **364-366** Mat. 5: 4-9

τὴν καθαρὰν
καὶ ἡγιασμένην καὶ φωτεινὴν
ψυχήν σου ὑπεδέξαντο,
γῆθεν ἀνιοῦσαν εἰς οὐρανοὺς
λαμπρῶς ἐμφανισθῆναι
τῷ τοῦ Θεοῦ προσώπῳ
καὶ εἰς αἰῶνας ἐναγάλλεσθαι.

F. 155v Ῥαθύμως ἐσχηκότες πρὸς τὰς σεπτὰς
ἐντολὰς τοῦ Κυρίου, παρώφθημεν
καὶ τοῖς ἐχθροῖς
ἤδη παρεδόθημεν ὑπ' αὐτοῦ
εἰς ἐμπαιγμὸν καὶ ὄνειδος·
στῆθι καὶ ἐξίλασαι τὸν χρηστὸν
τῇ φίλῃ σου πατρίδι,
λαῷ τῷ χριστωνύμῳ
καὶ ἐκκλησίαις, ἃς ἐκόσμησας.

Καλέσας τοὺς ἁγίους συμπρεσβευτάς,
ὧν τὰς πράξεις τοῖς λόγοις ἐκόσμησας,
τὸν ἀγαθὸν
καὶ φιλανθρωπότατον Ἰησοῦν
ἱκετικῶς δυσώπησον
κράτος δωρηθῆναι τῷ βασιλεῖ
κατὰ τῶν πολεμίων,
τὴν δόξαν τῇ συγκλήτῳ
καὶ τὴν εὐστάθειαν τοῖς πράγμασιν.

Ὀλίγον σοι τὸ δῶρον καὶ πενιχρὸν
ἐξ ὀλίγης φρενὸς καὶ δυνάμεως,
ἀλλὰ τὴν σὴν
ἀντικαταπέμποις μοι δαψιλῶς
ἐξ οὐρανοῦ βοήθειαν,
ὥσπερ τὴν ὠφέλειαν οὐ μικρὰν
πολλάκις ἐδρεψάμην,
τοῖς λόγοις σου τοῖς θείοις
διαφερόντως ἐνηδόμενος.

Θ. Συνόντα σοι, παρθένε, διὰ παντὸς
τὸν σοφὸν Συμεῶνα καὶ βλέποντα

www.tezaurliturgic.ro

δόξαν τὴν σὴν
συμπαραλαβοῦσα, τὸν σὸν υἱὸν
ὑπὲρ ἡμῶν ἱκέτευσον,
τῶν συντετριμμένων καὶ ταπεινῶν,
τῆς σῆς κληρονομίας,
τῆς πόλεως σου ταύτης,
τῶν βασιλέων, οὓς ἠγάπησας.

Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς συνέλθωμεν

Τὰ τῶν μαρτύρων τρόπαια
καὶ ὁσίων ἀγῶνας,
ἱεραρχῶν τε θαύματα
καὶ ἁγίων ἁπάντων
τοὺς βίους καὶ πολιτείας
φράσεσι ταῖς πανσόφοις
F. 156 ἐξέθηκας εἰς μίμησιν
πᾶσι τοῖς βουλομένοις·
διόπερ νῦν
σὺν αὐτοῖς παρέστηκας τῷ δεσπότῃ,
ὑπὲρ ἡμῶν δεόμενος,
Συμεὼν θεηγόρε.

Θεοτοκίον. Ὅμοιον.

Ὁ τῶν ἁπάντων Κύριος,
ἐξ ἁγίας γαστρός σου
σωματωθείς, ἐπέφανε
τοῖς ἐν σκότει τοῦ βίου,
πανύμνητε Θεοτόκε,
πάντας τοὺς ὑπευθύνους
λυτρούμενος ὡς εὔσπλαγχνος
τῆς ἀρχαίας κατάρας
τῆς τοῦ Ἀδάμ·

Heirm. exap. MR I 22

409 Ps. 50: 17 **427-428** Lu. 1: 79 **432-433** Ge. 5: 17-19

διὸ πίστει, δέσποινα, δυσωποῦμεν·
τοῦτον ἡμῖν εὐίλατον
σαῖς πρεσβείαις παράσχου.

Εἰς τοὺς αἴνους στιχηρά.
Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν

Τὸν φωστῆρα τὸν ἄδυτον,
τὸν λαμπτῆρα τὸν πάμφωτον,
τὸν τὴν κτίσιν ἅπασαν καταυγάζοντα
τοῖς ἱεροῖς διηγήμασι
τῶν βίων καὶ πράξεων
καὶ ἀγώνων καὶ παθῶν
καὶ ἐνθέων δυνάμεων
ἀποστόλων τε
προφητῶν καὶ μαρτύρων
καὶ ὁσίων,
Συμεὼν τὸν θεοφόρον
ἀξιοχρέως τιμήσωμεν.

Ὅμοιον.

Τῆς σοφίας τὸ ἄγαλμα,
τῆς φρονήσεως τέμενος,
σωφροσύνης κάλλιστον ἐνδιαίτημα,
δικαιοσύνης ἀνδρείας τε θεότευκτον ὄχημα
καὶ ἁπάσης ἀρετῆς
ἱερὸν καταγώγιον,
τὸν ἐν πράξεσι
γεννικὸν λογοθέτην
καὶ ἐν λόγοις
ἐνεργῶς ἠκριβωμένον
μελῳδικῶς ἀνυμνήσωμεν.

Heirm. stich. εἰς τοὺς αἴνους MR I 26
457 γεννικὸν (sic) Me in D

www.tezaurliturgic.ro

Ὅμοιον.

Τὸ τοῦ κόσμου βασίλειον
ἐπὶ γῆς κατεκόσμησας
τῇ τῶν λόγων χάριτι καὶ τῶν πράξεων·
καὶ νῦν, τὰ ἄνω βασίλεια
οἰκῶν, καθικέτευε
τὸν οὐράνιον, σοφέ,
βασιλέα τῆς κτίσεως
τοῦ δωρήσασθαι
F. 156ᵛ τοῖς ἡμῶν βασιλεῦσι
τὴν εἰρήνην
καὶ ὑγείαν καὶ τὸ κράτος,
πολυχρονίως τηρούμενον.

Ὅμοιον.

Ἡ τῶν πόλεων ἄνασσα
τῇ γεννήσει σου χαίρουσα,
νῦν διαπρεπέστερον ὡραΐζεται,
τὸ ἱερόν σου καὶ ἅγιον
κατέχουσα λείψανον
ὡς καρπὸν πανευκλεῆ
καὶ οἰκεῖον ἐντρύφημα,
δοξαζόμενον
εὐωδίᾳ θαυμάτων
καὶ τῷ οἴκῳ
τῆς πανάγνου Θεοτόκου
καὶ πολιούχου σκηνούμενον.

Δόξα. Ἦχος δ'.

Βίον ἔνθεον κατορθώσας,
θεωρίᾳ τὴν πρᾶξιν κατεκόσμησας,
Συμεὼν παμμακάριστε·
τὴν γὰρ σοφίαν φιλήσας ἔρωτι θείῳ,

488 Pr. 29: 3

ἐκ στόματος τοῦ πνεύματος
τὴν χάριν κατεπλούτησας
καὶ ὡς κηρίον μέλιτος
τὸν γλυκασμόν σου τῶν λόγων ἀποστάζων ἡμῖν,
εὐφραίνεις νοήμασι θείοις τὴν ἐκκλησίαν τοῦ Χριστοῦ·
διὸ ἐν οὐρανοῖς ἁγιοπρεπῶς αὐλιζόμενος
ὑπὲρ ἡμῶν ἀπαύστως πρέσβευε,
τῶν ἐκτελούντων τὴν μνήμην σου.

Καὶ νῦν θεοτοκίον.

XIVᵃ. Συναξάριον.
Μηνὶ νοεμβρίῳ κη'. Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Συμεὼν Λογοθέτου τοῦ Μεταφραστοῦ.

Ὁ τοὺς βίους ζῶν ἐκφράσας τῶν ἁγίων,
τοῖς ἁγίοις σύνεστι λιπὼν τὸν βίον.

Εἰκάδι ὀγδοάτῃ Συμεὼν ἐξεπέρησεν.

[F. 157] Οὗτος ὁ περιφανὴς τοῦ κόσμου φωστὴρ καὶ τῆς ἐκκλησίας νοητὸς ἥλιος γεννᾶται μὲν ἐν τῇ θεοφυλάκτῳ ταύτῃ καὶ βασιλίδι πόλει κατὰ τοὺς χρόνους Λέοντος τοῦ σοφωτάτου καὶ εὐσεβοῦς βασιλέως. Πατέρων δὲ ἐπιφανῶν καὶ ἐνδόξων τυχών, ἐλευθερίως ἐτράφη καὶ ἀγωγῆς τῆς ἀρίστης εὐμοίρησε, τοῦτο μὲν τὴν ἐγκύκλιον παίδευσιν ἐξασκούμενος φιλοπόνως καὶ τοῖς ὑψηλοῖς τῆς φιλοσοφίας προσμελετῶν θεωρήμασι, τοῦτο δὲ ἐν τοῖς βασιλείοις περὶ τὰ τακτικὰ γυμναζόμενος καὶ τοῖς ἀρίστοις τῶν στρατηγῶν ὡς αὐτός φησι παραθέων καὶ συνεπόμενος. Ἐπήνθει δὲ ἅπασι τούτοις ὁ τοῦ Θεοῦ φόβος καὶ ἡ πρὸς ἀρετὴν οἰκείωσις, ἐκ πρώτης τριχὸς ὡς εἰπεῖν αὐτῷ συμφυέντα καὶ συναυξηθέντα καὶ συνακμάσαντα. Τὸ γὰρ εὐαγγελικὸν ἐκεῖνο φέρων ἀεὶ κατὰ νοῦν, «λαμψάτω τὸ φῶς ἡμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς», τοιοῦτον ἑαυτὸν παρεῖχεν ἐν ἅπασιν, ὡς εἰς δόξαν Θεοῦ τὸν ὅλον αὐτοῦ βίον εἶναι καὶ τῶν ὁρώντων καὶ ἀκουόντων ὠφέλειαν.

Οὐ [F. 157] πολὺς ὁ μεταξὺ χρόνος καὶ συμπροϊούσης αὐτῷ τῇ ἡλικίᾳ

491-492 Pr. 16: 24 **10-11** Mat. 5: 16

www.tezaurliturgic.ro

τῆς ἀρετῆς καὶ παιδεύσεως, ἐπὶ τῶν κοινῶν πραγμάτων καθίσταται καὶ λογοθέτης μέγας χειροτονεῖται καὶ τοῖς μεταξὺ βασιλεύσασι Φωκᾷ καὶ Ἰωάννῃ σταθερῶς καὶ γνησίως ὑπηρετήσας, ὡς ἔδει τὸν ἐν ἀταξίᾳ πραγμάτων βεβηκότα καὶ στάσιμον ἐν τῷ μεγαλοφυεῖ τοῦ φρονήματος τῷ μετ' αὐτοὺς Βασιλείῳ τῷ Πορφυρογεννήτῳ τὴν πατρῴαν τε καὶ παππώαν ἀρχὴν ἀνασῴζει καὶ συγκαθίστησι. Καὶ γίνεται τούτῳ τὰ πάντα· τῶν ἔνδον ὁ πιστότατος, τῶν ἐκτὸς ὁ πρακτικώτατος, τῶν ἀπορρήτων κοινωνὸς βουλευμάτων, τῶν μυστικωτέρων πράξεων βραβευτής, τῶν ἔξωθεν δεομένων εἰσαγγελεύς, τῶν τοῦ κρατοῦντος πρὸς τοὺς ἔξωθεν αὖθις ἐξαγγελεύς. Οὕτω τοιγαροῦν ἡ ἀρετή, λαβομένη τῆς ἀναλόγου πρὸς ἐργασίαν ὕλης, ἐξεφαίνετο καθ' ἡμέραν καὶ ἐπεδίδου καὶ λαμπρότερον τὸν ἐργάτην ἐδείκνυε. Χεὶρ μὲν ἦν αὐτῷ πρὸς τοὺς δεομένους ἄνετος καὶ ποταμοῖς ἴσα ῥέουσα, μηδ' αὐτῶν φειδομένη πολλάκις τῶν ἀναγκαίων περιβλημάτων, σωφροσύνῃ δὲ καὶ ἁγιασμῷ τὸν ἅπαντα βίον ἐκόσμει. Καὶ οἷόν τις ποταμὸς δι' ἅλμης ῥέων γλυκύς, οὕτως ἐν μέσοις τοῖς πράγμασι καθαρὸν τὸ σῶμα καὶ τὴν ψυχὴν συνετήρει καὶ τὸν νοῦν ἀνεπιθόλωτον εἶχε πρὸς θεωρίαν τοῦ[F. 158] κρείττονος. Τί δεῖ λέγειν προστασίας ἀδικουμένων καὶ συμφορῶν λύσεις καὶ ὅσοις ἄλλοις τὸ γένος εὐεργετῶν διετέλεσεν, ἄνθρωπος ἀρετῇ καὶ Θεῷ φίλος ἐν ἐξουσίᾳ γενόμενος; Ἀλλὰ καὶ τοὺς λόγους ἔγνω δεῖν τῷ Θεῷ ἀναθέσθαι καὶ τοῖς αὐτοῦ ἁγίοις, πρὸς οἷς ἄμετρόν τινα εἶχε τὸν πόθον καὶ ὧν ἐκοινώνει ταῖς μνείαις, ἐπειδὴ καὶ ταῖς ἀρεταῖς. Ὁρῶν τοίνυν τὰ ὑπομνήματα τῶν βίων αὐτῶν καὶ ἀγώνων καὶ τεραστίων πράξεων περὶ μὲν τὴν λέξιν οὕτως ἀφελῶς ἔχοντα καὶ χυδαίως, ὡς μηδ' ἀκοῆς ἄξια τοῖς πεπαιδευμένοις νομίζεσθαι, τὰ πολλὰ δὲ αὐτῶν οὐδὲ τὸν νοῦν ὑγιαίνοντα καὶ τῶν ἁγίων καταψευδόμενα, πάντα γε μὴν ἐλλιπῆ τοῦ δέοντος καὶ ἀκατάλληλα τῷ μεγέθει τῶν ὑποθέσεων, ἀναλαβὼν ἅπαντα μεταβάλλει πρὸς θαυμαστήν τινα φράσιν καὶ πολὺ τὸ ὑπέρογκον καὶ σεμνὸν μετὰ τοῦ σαφοῦς καὶ γνωρίμου τοῖς πολλοῖς ἔχουσαν καὶ τῇ ἐκκλησίᾳ δίδωσι χρῆμα πολλοῦ τινος ἄξιον, ἐξενεχθέντων εὐθὺς εἰς πᾶσαν τὴν οἰκουμένην τῶν αὐτοῦ συγγραμμάτων καὶ παρὰ πᾶσιν ἀναγινωσκομένων εἰς δόξαν Θεοῦ καὶ τῶν πιστῶν ὄφελος, ὡς ἐξ ἐκείνου τὴν ἐπωνυμίαν αὐτὸν λαβεῖν τοῦ Μεταφραστοῦ, καθάπερ ἄλλο τι τῶν τιμίων ἐπίσημον. Οὕτω τὸν Θεὸν διὰ πάντων δοξάσας καὶ τοὺς ἁγίους τιμήσας, τήν τε [F. 158ᵛ] πολιτείαν ὁμοῦ καὶ τὴν ἐκκλησίαν κοσμήσας, τὴν μὲν τοῖς ἔργοις, τὴν δὲ τοῖς λόγοις καὶ κοινὸν ἀγαθὸν τῷ βίῳ γενόμενος καὶ τὸν ἐκ Περσίδος ἥκοντα πρέσβιν, ἐπ'

10 F. Boulenger, *Grégoire de Nazianze, Discourse funèbres en l'honneur de son frère Césaire et de Basile de Césarée*, Paris 1908, ch. 21: 6, 6: ποταμὸς δι' ἅλμης ῥέων γλυκύς.

εὐγλωττίᾳ τε καὶ σοφίᾳ χαλδαϊκῇ βρενθυόμενον, καὶ περὶ θρησκείας διαλεχθῆναι ζητοῦντα, τῇ τῶν λόγων δυνάμει καὶ χάριτι καταπλήξας καὶ ἀχανῆ καὶ ἄφωνον ἐργασάμενος, ὡς ἀπελθεῖν ἐκεῖνον μᾶλλον τῶν ἄλλων ἁπάντων, ὅσα Ῥωμαίοις ὑπῆρχε τότε, θαυμάζοντα, πρὸς τῷ τέλει τοῦ βίου καὶ τῷ ἱερῷ τῶν μοναχῶν ἐπικοσμηθεὶς σχήματι, μετατίθεται τὸ πολίτευμα καὶ πρὸς τὴν ἄνω σύγκλητον μεταβαίνει, χοροῖς διδασκάλων ἁγίων καὶ ἀσκητῶν συναπτόμενος καὶ μαρτύρων, οὓς μακαρίσας γνησίως εἴπερ τις ἕτερος, γέγονε μάρτυς τῇ προαιρέσει καὶ τῶν αὐτῶν ἐκείνοις στεφάνων καὶ τῆς δόξης ἠξιωμένος. Τὸ δὲ καθαρὸν αὐτοῦ σῶμα καὶ τῆς καθαρᾶς ψυχῆς ὄργανον δοξάζεται καὶ μετὰ τελευτὴν ὑπὸ τοῦ δι' αὐτοῦ δεδοξασμένου Θεοῦ. Θαυμαστὴ γάρ τις καὶ ἄρρητος εὐωδία τὸν τόπον ἐπλήρου καὶ παρέμεινε μέχρι πολλοῦ τῷ λειψάνῳ καὶ τῇ σορῷ κἂν διὰ παντὸς ἔμεινεν, εἰ μή τινες παρ' αὐτῷ καταθεῖναι καὶ ἕτερον τι σωμάτιον τετολμήκασιν. Αὐτίκα γὰρ ἡ πηγὴ τῆς εὐωδίας ἐκείνης ἔστη καὶ πέπαυται, δεικνύντος κἀν τούτῳ Θεοῦ τὸ ὑπερέχον τῆς τοῦ ἀνδρὸς ἁγιωσύνης καὶ [F. 159] καθαρότητος. Τό γε μὴν ἱερὸν αὐτοῦ λείψανον εἰς δεῦρο μένει σῶον καὶ ἄλυτον, ἐν τῷ ναῷ τῆς δεσποίνης ἡμῶν τῆς Θεοτόκου καὶ πολιούχου τιμώμενον τε καὶ προσκυνούμενον, ἥτις ἐκ τῶν Ὁδηγῶν τὴν ἐπωνυμίαν κεκλήρωται.

www.tezaurliturgic.ro

XV. *Μηνὶ μαρτίῳ ε'.*
Ἀκολουθία εἰς τὸν ὅσιον πατέρα ἡμῶν Μάρκον.

F. 173 **Στιχηρά. Ἦχος πλάγιος β'. Ὅλην ἀποθέμενοι**

Ὄγκον ἀποθέμενος
βιωτικῆς φαντασίας
καὶ τὴν εὐπερίστατον
ἁμαρτίαν, ὅσιε, βδελυξάμενος,
ἀκλινῶς ἔδραμες
λογισμῷ ζέοντι
τὸν ἀγῶνα τῆς ἀσκήσεως·
διὸ τὸν στέφανον
τῆς δικαιοσύνης δεξάμενος,
χειρὶ τῇ παντοκράτορι
ταῖς τῶν μοναστῶν ὁμηγύρεσι
τύπον καὶ κανόνα
τῷ βίῳ καὶ τῷ λόγῳ σεαυτὸν
ἠκριβωμένον προτέθεικας,
Μάρκε παμμακάριστε.

Ὅμοιον.

Λόγου θείαις χάρισι
κεφαλαιώδεις κανόνας
ἀρετῆς ἐξέθηκας
καὶ μακροῖς συγγράμασι καθυπέδειξας
τὴν ὁδόν, ὅσιε,
τὴν στενὴν ἅπασιν,
ὅπως δύναται βαδίζεσθαι,
καὶ τὴν ἀκρίβειαν
τοῦ εὐαγγελίου τῆς χάριτος

Tit. Ἡ τοιαύτη ἀκολουθία ψάλλεται Σαββάτῳ τῶν νηστειῶν ἤτοι in marg. superiore cod. D Me scripsit. Postea verba Τοῦ αὐτοῦ add. Je

Heirm. stich. ER 281

20-21 Mat. 7: 14

καὶ νόμων τελειότητα
τῶν δεσποτικῶν ἐξεδίδαξας,
Μάρκε θεοφόρε,
καὶ βάπτισμα τὸ θεῖον καὶ ζωῆς
τῆς αἰωνίου παραίτιον
ἀκριβῶς ἀνέπτυξας.

Ὅμοιον.

Θαῦμα φρικωδέστατον,
ὅπως εἰσέτι τῷ βίῳ
παρὼν ἐξεδήμησας
πρὸς τὴν ὑπερκόσμιον τελειότητα
νοερῶς, ὅσιε,
θεϊκῇ χάριτι
σὺν ἀγγέλοις ἀριθμούμενος·
καὶ γὰρ τοῦ σώματος
τοῦ δεσποτικοῦ καὶ τοῦ αἵματος
ἀντὶ τοῦ προσκομίζοντος
χεὶρ ἀγγελικὴ μετεδίδου σοι·
ὦ τῆς θείας δόξης,
δι' ἧς καὶ νῦν δοξάζει σε Χριστός,
F. 173v *ὃν παρρησίᾳ δυσώπησον*
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος δ'.

Πάλαι μὲν ἀστράγαλος χειρὸς ἀγγελικῆς
τῷ βασιλεῖ Χαλδαίων
θάνατον ὑπέγραφε·
σοὶ δέ, θεοφόρε, τὸν ζωοδότην καὶ οὐράνιον ἄρτον
ἐκ τοῦ θυσιαστηρίου ἀξίως ἀγγελικὴ χεὶρ ἐπιδίδωσιν,
ἐξ ἀστραγάλου τῷ ἱερεῖ ὁρωμένη·
τοῦ γὰρ προφήτου Ἡσαΐου τὴν χάριν δεξάμενος,
ὡς ἐκεῖνος τῷ θείῳ ἄνθρακι τὰ χείλη ἐκαθάρθης

52 Ἡσαΐου (sic) Me in D

46-48 Da. Th. 24-28 **52-53** Is. 6: 6-7

www.tezaurliturgic.ro

καὶ πρὸς λαὸν ἀποσταλεὶς δουλεύοντα Θεῷ
πρὸς τὴν ὁδὸν τῆς σωτηρίας ἐν θεοπνεύστοις λόγοις
ἅπαντας ὡδήγησας·
διὸ καὶ ἡμᾶς τοῖς ῥήμασι φωτίζων
καὶ τοῖς πράγμασι, Θεῷ εὐαρεστῆσαι ποίησον,
τῶν παθῶν ἀνωτέρους δι' ἀρετῆς ἀναδεικνύς,
Μάρκε παμμακάριστε.

Καὶ νῦν θεοτοκίον.

Εἰς τὸν ὄρθρον ὁ κανών, οὗ ἡ ἀκροστιχίς·
Ὁμώνυμον μέλπει σε τέκνον, πατέρα, Μάρκος.

Ὠδὴ πρώτη. Ἦχος β'. Ἐν βυθῷ κατέστρωσε ποτέ

Ὁ τὰ πάντα φέρων ὡς Θεός,
ῥήματι δυνάμεως
ὁ τοῖς αἰτοῦσι σοφίαν δωρούμενος,
σόφισόν μου, δέομαι,
τὴν διάνοιαν εὐφημῆσαι ἐν ᾄσμασι
τὰ τοῦ σοῦ ὁσίου
θεῖα ἀγωνίσματα, φιλάνθρωπε.

Μὴ θελχθεὶς τῷ λείῳ τῶν ῥευστῶν
καὶ προσκαίρων, ὅσιε,
τῆς ἀνωλέθρου ζωῆς τὴν κατάστασιν
τῷ βίῳ ἐζήλωσας,
τὴν ἰσάγγελον ἀσπασάμενος ἄμιλλαν·
ὅθεν σὺν ἀγγέλοις,
Μάρκε παναοίδιμε, ἐσκήνωσας.

F. 174

Ὡς ἐχέφρων ἔμπορος, σοφέ,
πάντων, ὧν ἐκέκτησο,
τὸν διαυγῆ μαργαρίτην ἠγόρασας
Χριστόν, μόνην, ὅσιε,

Heirm. α' EE 34, n. 46, Joannis

60-61 Hb. 1: 3 **62** Pr. 2: 3-6 **74-76** Mat. 13: 45-46

τὴν τοῦ λόγου ὑπολιπόμενος δύναμιν·
ἣν καὶ ταύτην φέρων,
πάτερ, τῷ δεσπότῃ καθυπέταξας.

Θ. Νεκρωθεῖσαν φύσιν τῶν βροτῶν
ἀκρασίᾳ γεύσεως
ὁ σὸς υἱός, Θεοτόκε, ἀνέστησε
Χριστός, ὁ Θεὸς ἡμῶν,
ἐγκρατείας τὸ ζωηφόρον πολίτευμα
τῷ βίῳ φυτεύσας,
ἐν ᾧ τοὺς ὁσίους προσελάβετο.

Ὠδὴ τρίτη. Ἐξήνθησεν ἡ ἔρημος ὡσεὶ κρίνον, Κύριε

Ὑπέταξας τῷ κρείττονι σὺ τὸ χεῖρον, ὅσιε,
ἀσκητικοῖς παλαίσμασι,
τῆς σαρκὸς δουλώσας τὸ φρόνημα
καὶ τὸν νοῦν ἐργασάμενος ἐλεύθερον.

Μαθὼν παρὰ Χριστοῦ τοῦ πράου, ὅσιε, πραΰς τε
καὶ ταπεινὸς τῇ καρδίᾳ
καὶ ἁπλοῦς ὅλος γεγένησαι
καὶ τὴν γῆν τῶν πραέων κλῆρον εἴληφας.

Ὁ μόνος καθαρὸς τῇ καθαρότητι τῶν τρόπων
τῶν σῶν ἀναπεπαυμένος,
δι' ἀγγέλου σοι μεταδίδωσι
τῶν φρικτῶν μυστηρίων, ὦ τοῦ θαύματος.

Θ. Νεώσασα ἀρότρῳ τῆς μετανοίας, κάθαρον
καὶ καρποφόρον ἔργασαι
χερσωθεῖσαν τῆς διανοίας μου,
Θεοτόκε, τὴν ἄρουραν πρεσβείαις σου.

Heirm. γ' EE 34, n. 46, Joannis

92-93 Mat. 11: 29 **95** Mat. 5: 5

www.tezaurliturgic.ro

Κάθισμα. Ἦχος δ^ος. *Ταχὺ προκατάλαβε*

Σταυρῷ ὁπλισάμενος
πρὸς ἀοράτων ἐχθρῶν
ἐξῆλθες παράταξιν
ἐν πεποιθήσει πολλῇ,
πατὴρ ἡμῶν ὅσιε·
οἷς καὶ συνάψας μάχην
κατὰ κράτος ἐτρέψω
F. 174^v πάσας τὰς πανουργίας
τὰς αὐτῶν ἀπελέγξας·
διόπερ καὶ τὸν τῆς νίκης
στέφανον εἴληφας.

Ἕτερον. Κατεπλάγη Ἰωσήφ

Κατεπλάγησαν τὴν σὴν
οἱ ἐπουράνιοι χοροὶ
τῶν ἀΰλων στρατιῶν
ἄκραν ἀπάθειαν, σοφέ,
καὶ διὰ τοῦτο ὡς φίλῳ σοι ἐκοινώνουν
τῶν ἄνω μυστηρίων καὶ ἐλλάμψεων
καὶ κάτω τοῦ φρικτοῦ καὶ θείου σώματος·
ὅθεν καὶ νῦν σὺν τούτοις τῇ παναγίᾳ
τριάδι χαίρων παρίστασαι,
ἡμῖν αἰτούμενος σωτηρίαν
τοῖς ἐκτελοῦσι τὴν μνήμην σου.

Ὠδὴ τετάρτη. Ἑλήλυθας

Μετέδωκας
τὸ τοῦ λόγου, σοφέ, σιτομέτριον
ὡς δοῦλος πιστότατος,

Heirm. cath. HR 63 Heirm. cath. alterius HR 129
Heirm. δ′ EE 34, n. 46, Joannis

126-128 Lu. 12: 42

πᾶσιν ἀφθόνως τοῖς χρήζουσι
γράφων, ἐκτιθέμενος
ψυχωφελεῖς παραινέσεις θείᾳ χάριτι.

Ἐκκέχυται
τῆς ἁγίας ψυχῆς σου τὸ ἔλεος
καὶ μέχρι τῆς φύσεως
τῆς τῶν ἀλόγων, ἀοίδιμε,
καὶ μάρτυς ἡ ὕαινα,
ἀπολαβοῦσα τὸν σκύμνον ἀναβλέψαντα.

Λόγῳ θείῳ
τὸν ἐν λόγοις ἀλόγως καυχώμενον
σοφιστὴν ἐξήλεγξας,
ἀποδεικνῦναι πειρώμενον
ἀχρήστους ἐν πράξεσιν
ὡς ἀδυνάτους τὰς θείας ἐντολὰς τοῦ Χριστοῦ.

Θ. Πανύμνητε,
ἡ Θεὸν ὑπερύμνητον τέξασα,
ὑμνοῦντα σε πόθῳ με
καὶ εὐσεβῶς μεγαλύνοντα
λύτρωσαι κολάσεως
καὶ ἐπηρείας δαιμόνων πολεμούντων μοι.

Ὠδὴ πέμπτη. Μεσίτης Θεοῦ

Ἐν πόνοις πολλοῖς
F. 175 τὸ σαρκίον ἔτηξας, μακάριε,
σκιὰν ὥσπερ ἄϋλον
τοῦτο περιφέρων, ἀποθέμενον
τοῦ γενείου τὰς τρίχας ἐκ τῆς πολλῆς ξηρότητος.

Ἰδοὺ ἡ πηγὴ
παραδείσου πρόεισι τοῦ θείου, πιστοί,
προσέλθετε, πίετε

Heirm. ε′ EE 39, n. 53, Cosmae

www.tezaurliturgic.ro

ἄνευ ἀργυρίου τὰ γλυκύτατα
τοῦ θεόφρονος Μάρκου διδασκαλίας νάματα.

Σημείοις φρικτοῖς
τὸν σεπτόν σου βίον ἐθαυμάστωσε,
Μάρκε παμμακάριστε,
ὁ ἐν τοῖς ἁγίοις θαυμαζόμενος,
ᾧ καὶ μόνῳ ἀρέσκειν διὰ παντὸς ἠγάπησας.

Θ. *Ἐλθὼν ἐπὶ γῆς*
ὁ υἱὸς ὁ τοῦ Θεοῦ σὰρξ γέγονεν,
ἀμόλυντε δέσποινα,
ἐκ τῶν σῶν αἱμάτων, περιθέμενος
τὴν πεσοῦσαν ἀνθρώπων οὐσίαν ὡς φιλάνθρωπος.

Ὠδὴ ἕκτη. Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος

Τὴν σοφίαν φιλῶν ἐκ νεότητος
ἄχρι καὶ τοῦ γήρως αὐτῇ συνεβίωσας,
διὸ χαρίτων στέφανον
τῇ σεπτῇ κορυφῇ σου ἐπέθηκεν.

Εὐγνωμόνως ἡ ὕαινα φέρουσα
κῴδιον κριοῦ, τὸν μισθὸν τῆς ἰάσεως
τῆς τοῦ σκυμνίου προύθηκεν,
ἀλλ᾽ ἀδίκως ἁρπάζειν κεκώλυται.

Κεφαλαίοις σοφοῖς περιέγραψας
τοῦ πνευματικοῦ, μάκαρ, νόμου τὴν δύναμιν,
διερμηνεύων ἄριστα
τῆς ἁγίας γραφῆς τὴν ἀκρίβειαν.

Θ. *Ναὸς οὖσα τοῦ κτίστου, πανάμωμε,*
τὴν βεβηλωθεῖσαν ψυχήν μου ἁγίασον

Heirm. ς′ EE 34, n. 46, Joannis

161 Cfr. Ps. 4: 3 **163** Ps. 67: 35 **170** Wi. 8: 2 **172** Pr. 1: 9

καὶ καθαρὸν ἀνάδειξον
F. 175v *τοῦ δεσπότου Χριστοῦ οἰκητήριον.*

Κοντάκιον. Ἦχος β′. Τὰ ἄνω ζητῶν

Τὰ κάτω λιπών,
τοῖς ἄνω προσεχώρησας
τὰ γέρα τῶν σῶν
καμάτων καὶ τὰ ἔπαθλα
πρὸς Χριστοῦ κομίσασθαι·
ἔνθα πάντων πάντοτε μνημόνευε,
ὅπως ὕμνους, μακάριε,
ὡς φίλῳ Κυρίου σοὶ προσάγωμεν.

Ὁ οἶκος. Τράνωσόν μου τὴν γλῶτταν, Σωτήρ μου, πλάτυνόν μου τὸ στόμα

Τὸν τῆς ἀρρήτου γνώσεως μύστην ἐκ τῆς πράξεως ὄντα
καὶ τῷ λόγῳ πολλοὺς ἐξ ἀλογίας λυτρούμενον,
δεῦτε, οἱ τρυφῶντες τοῖς αὐτοῦ θείοις συγγράμμασιν,
ὕμνοις καὶ εὐφημίαις
ὡς ἀμαράντοις στεφάνοις ἀξίως τιμήσωμεν,
ἱκέσιόν τε ὁμοῦ καὶ χαριστήριον εἴπωμεν τὴν φωνήν·
«ῥῦσαι ἡμᾶς ἐκ ποικίλων παθῶν,
ἵνα πόθῳ τοὺς ὕμνους γηθόμενοι
ὡς φίλῳ Κυρίου σοὶ προσᾴδωμεν».

Ὠδὴ ἑβδόμη. Ἀντίθεον πρόσταγμα

Ὀρθόδοξον φρόνημα,
καθαρωτάτην
διάνοιαν, ὅσιε,
πλουτήσας ἐκ νεότητος,
πᾶσαν τὴν θεόπνευστον γραφὴν ἐκ στόματος
ἔφερες, τῇ μνήμῃ συντηρῶν
ὡς ἐν πυκτίῳ τὰς θεολέκτους φωνάς.

Heirm. cont. MR I 17 **Heirm. oec.** MR IV 396
Heirm. ζ′ EE 34, n. 46, Joannis

www.tezaurliturgic.ro

Νοὸς καθαρότητι
θεολογίας
ἀκτῖνας δεξάμενος,
ὡς ἔσοπτρον νεόσμηκτον
ἅπαντας ἐφώτισας ἀρχὴν εἰδέναι Θεὸν
μέσον τε καὶ τέλος τῶν καλῶν
ἐν τῷ υἱῷ καὶ ἁγίῳ πνεύματι.

Προφήτας μὲν ἔθρεψε
καὶ τῶν ὁσίων
πολλοὺς ὁ φιλάνθρωπος
διὰ χειρὸς ἀγγέλου Θεός,
F. 176 σοὶ δὲ τὴν οὐράνιον μόνῳ τροφὴν χορηγεῖ
χεὶρ ἀγγελικὴ περιφανῶς
καθορωμένη ἐξ ἀστραγάλου, σοφέ.

Θ. Ἀφράστως συνέλαβες
τὸν Θεὸν λόγον,
ἀρρήτως ἐκύησας,
ἀφθόρως ἀπεγέννησας·
μέγα τὸ μυστήριον τὸ σόν, θεόνυμφε,
λόγον τε καὶ νοῦν ὑπερνικῶν
ἀγγελικόν τε καὶ τὸν ἀνθρώπινον.

Ὠδὴ ὀγδόη. *Κάμινος ποτὲ πυρὸς ἐν Βαβυλῶνι*

Τῇ τῶν λογισμῶν γαλήνῃ τῇ ἐξ ἄκρας
ἀμεριμνίας προσκτησάμενος
προσευχὴν ἀρρέμβαστον
καὶ καρδίας καθαρότητα
καὶ φυλακὴν ἀέννaον,
τύπος τῆς ἡσυχίας
γέγονας, πάτερ ἀοίδιμε.

Heirm. η′ EE 34, n. 46, Joannis

213 ἔσοπτρον Cf. I Co. 13: 12 **217** III Ki. 17: 6; 18: 4; 19: 5, 7 Da. Th. 14: 34
222-223 Da. Th. 5: 5

Εὐαγγελιστῇ σοφῷ, θεόφρον πάτερ,
ὡς ἐκοινώνησας τῆς κλήσεως,
καὶ τρόπου καὶ χάριτος
κληρονόμος τούτου γέγονας
καὶ τὸν καινὸν ἐν πνεύματι
νόμον διατρανώσας,
εὐαγγελίσω τοῖς πέρασιν.

Ῥήτωρ ὑψηλὸς ἐν ταπεινώσει βίου
καὶ θεολόγος καὶ φιλόσοφος
γενόμενος, ὅσιε,
γραμματεὺς μαθητευθεὶς Χριστῷ
τοῦ ἀγαθοῦ προέφερες
οἴκου τοῦ τῆς καρδίας
ὡς θησαυροῦ παλαιὰ καὶ καινά.

Θ. Ἄχρονον υἱὸν ἀχράντως συλλαβοῦσα,
τὸν ποιητὴν τῶν χρόνων, ἄχραντε,
ἐν χρόνῳ ἐγέννησας,
διὸ πάθη μου τὰ χρόνια
καὶ παλαιὰ ῥυπάσματα
κάθαρον, δυσωπῶ σε,
τῆς εὐσπλαγχνίας σου νάμασιν.

Ὠδὴ ἐνάτη. *Ἀνάρχου γεννήτορος*

Μύριοις τοξεύμασι
καὶ πειρασμῶν ἐμπύροις βολαῖς
F. 176 ὁ ἐχθρός σοι, θεόφρον πάτερ, ἐπέθετο,
ἀλλ᾽ ὑπερνικήσας αὐτοῦ τὴν φθοροποιὸν
δύναμιν, παμμάκαρ,
ἀνῆλθες γηθόμενος
εἰς οὐράνια σκηνώματα.

Heirm. θ′ EE 35, n. 46, Joannis

247-248 Mat. 13: 52 **249-251** Mat. 12: 35

www.tezaurliturgic.ro

Ἁγίως τὸν βίον σου
διατελέσας, ὅσιε,
σὺν ἁγίοις ἀξίως τὸν κλῆρον ἔσχηκας,
ἔνθα οἱ χοροὶ τῶν ὁσίων τῷ θεϊκῷ
θρόνῳ παρεστῶτες,
ὑμνοῦσι τὴν ἄναρχον
θεαρχίαν, παμμακάριστε.

Ῥημάτων αἱ χάριτες
τῶν σῶν καταγλυκαίνουσι
τοὺς ἐν πίστει καὶ πόθῳ ἀναγινώσκοντας,
γνῶσιν θεϊκὴν ἐντιθεῖσαι καὶ φωτισμόν,
Μάρκε θεοφόρε,
ὁσίων τὸ καύχημα,
διδασκάλων τὸ κεφάλαιον.

Κατέλαβες, ὅσιε,
ἅπερ ἀεὶ ἐδίωκες,
τὸν καλόν τε ἀγῶνα ἀγωνισάμενος
καὶ τετελεκώς σου τὸν δρόμον, τοῦ ἐφετοῦ
χαίρων ἀπολαύεις,
τυχὼν τῆς θεώσεως
ἐπαξίως, πανσεβάσμιε.

Ὁ μόνος φιλάνθρωπος,
ὁ μόνος ἀμνησίκακος,
ὁ Θεὸς τοῦ ἐλέους καὶ τῆς χρηστότητος,
ταῖς τοῦ σοῦ ὁσίου πρεσβείαις τὴν ταπεινὴν
λύτρωσαι ψυχήν μου
δαιμόνων κακότητος,
ἀναιδῶς ἐπικειμένων μοι.

Θ. Σὺν σοὶ μὲν ἀπάρχεσθαι
τῶν ὕμνων ἐφιέμεθα
καὶ εἰς σὲ καταλήγειν, ἁγνή, εἰώθαμεν
οἱ ἐπεγνωκότες μητέρα σε τοῦ Θεοῦ,
δέσποινα τοῦ κόσμου,

276 II Co. 4: 6 282-283 I Ti. 6: 12; II Ti. 4: 7

καὶ σῆς ἀπολαύοντες
ἀρωγῆς ἐν περιστάσεσιν.

F. 177 **Ἐξαποστειλάριον. *Τοῖς μαθηταῖς συνέλθωμεν***

Τῶν μοναστῶν τὴν ἔνθεον,
Μάρκε, φιλοσοφίαν,
τοῖς σοῖς λόγοις ἐκόσμησας
ὥσπερ δὴ καὶ τοῖς ἔργοις,
ὡς θεῖον ἄγαλμα ξέσας,
πᾶσι τοῖς βουλομένοις
ἀρχέτυπον εἰς μίμησιν
προτιθείς, θεοφόρε·
διό σου νῦν
τὴν λαμπρὰν καὶ εὔσημον καὶ ἁγίαν
ἡμέραν τῆς κοιμήσεως
ἐπαξίως τιμῶμεν.

Θεοτοκίον. Ὅμοιον.

Ὁ τῶν ἁπάντων Κύριος
ἐξ ἁγίας γαστρός σου
σωματωθείς, ἐπέφανε
τοῖς ἐν σκότει τοῦ βίου,
πανύμνητε Θεοτόκε,
πάντας τοὺς ὑπευθύνους
λυτρούμενος ὡς εὔσπλαγχνος
τῆς ἀρχαίας κατάρας,
τῆς τοῦ Ἀδάμ·
διὸ πίστει, δέσποινα, δυσωπῶ σε
κἀμοὶ τοῦτον εὐίλατον
σαῖς πρεσβείαις παράσχου.

Heirm. exap. MR I 22

315-316 Lu. 1: 79

www.tezaurliturgic.ro

Εἰς τοὺς αἴνους στιχηρά.
Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν

Λόγῳ καὶ σοφίᾳ συντραφεὶς
καὶ τὴν ἐκ τῆς φύσεως χάριν διαφερόντως πλουτῶν,
σκύβαλα λελόγισαι τὰ περισπούδαστα
τοῖς πολλοῖς νομιζόμενα
καὶ ἄρας προθύμως
τὸν σταυρόν σου, ἔδραμες
ἀκολουθῶν τῷ Χριστῷ·
ὅθεν κοινωνόν σε ποιεῖται,
μάκαρ, τῆς αὐτοῦ βασιλείας
ὁ μόνος δυνάστης καὶ μακάριος.

Ὅμοιον.

Νόμου τὸ δικαίωμα, σοφέ,
τοῦ πνευματικοῦ τοῖς σοῖς λόγοις ἡμῖν ἐτράνωσας,
ἤλεγξας τοὺς πράξεσι καὶ μὴ τῇ χάριτι
δικαιοῦσθαι νομίζοντας,
τὸ τῆς μετανοίας
ἔργον ὀφειλόμενον
πᾶσιν ὁμοίως δεικνύς·
ὅθεν ὡς πολύτιμον ὄλβον
F. 177v καὶ διαφανεῖς μαργαρίτας
ἔχοντες τοὺς λόγους σου θαυμάζομεν.

Ὅμοιον.

Ὅλος ἐκδημῶν πρὸ τελευτῆς
καὶ σὺν τοῖς ἀγγέλοις τὸν κτίστην ὑμνῶν μετάρσιος,
ἄκρᾳ ἁγιότητι καὶ ἀπαθείᾳ, σοφέ,
δι' ἀγγέλου τοῦ σώματος

Heirm. stich. **εἰς τοὺς αἴνους** ER 238

327 Phi. 3: 8 **329-330** Mat. 16: 24 **335** Ro. 2: 26; Ro. 8: 4
337-338 Ga. 2: 16; Tit. 3: 7

φρικτῶς ἐκοινώνεις
καὶ τοῦ θείου αἵματος·
οὕτω δοξάζειν Θεός
οἶδε τοὺς δοξάζοντας τοῦτον,
ᾧ νῦν παριστάμενος, πάτερ,
αἴτησαι σωθῆναι τοὺς ὑμνοῦντας σε.

Δόξα. Ἦχος α'.

Τῷ τοῦ Πέτρου υἱῷ χρηματίσαντι
καὶ τοῦ εὐαγγελίου συγγραφεῖ γεγονότι,
θεόφρον, ὁμωνυμήσας,
υἱὸς Θεοῦ κατὰ χάριν γέγονας
καὶ τὸν καινὸν τοῦ πνεύματος νόμον
ἐν θεοσόφοις λόγοις διετράνωσας·
διὸ τύπος καὶ κανὼν μοναδικῆς πολιτείας ὑπάρχων
τῷ ἀκραιφνεῖ τοῦ φθόγγου μέλιτι
τοὺς προσέχοντας πάντας
εἰς πόθον ἀρετῆς διεγείρεις
καὶ τὰς λαβὰς τῶν ἐναντίων ἐκφεύγειν διδάσκεις·
ἀλλὰ καὶ νῦν ἡμῖν ἐξιλέου τὸ θεῖον
τοῖς ἐν πίστει τελοῦσι τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν θεοτοκίον.

Δόξα. Εἰς τὸν στίχον. Ἦχος δ'.

Τὸν τοῦ Κυρίου σταυρὸν ἐπ' ὤμων ἀράμενος, ὅσιε πάτερ,
ἀκλινῶς ἐπορεύθης τὴν ὁδὸν τῆς σωτηρίας·
τὴν γὰρ ψυχὴν ἀπολέσας
εὐαγγελικῶς αὐτὴν διέσωσας
καὶ σὺν αὐτῇ καὶ ἑτέρους
ὡς οἰκονόμος φρόνιμος ἐκέρδησας,
τὸ τοῦ λόγου τάλαντον
εἰς ἑκατὸν τοῖς γράμμασι πολυπλασιάσας·
διὸ καὶ ἡμᾶς τοὺς ὑμνοῦντας σε

351-352 I Ki. 2: 30 **359** Cfr. Ro. 8: 2 **370-371** Mat. 10: 39
373-375 Mat. 25: 14-23

www.tezaurliturgic.ro

διὰ νηστείας κεκαθαρμένους
καὶ τὰ ἐπὶ γῆς μέλη νεκρώσαντας
F. 178 τὸν ζωηφόρον σταυρὸν ἀξίωσον προσκυνῆσαι
καὶ μετὰ τοῦτο τὴν σωτήριον ἀνάστασιν,
ἐκτενῶς ἱκετεύων
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν θεοτοκίον.

*

* *

XVI. Μηνὶ μαρτίῳ ΙΖ'.
Ἀκολουθία εἰς τὸν ἅγιον Ἀλέξιον, τὸν ἄνθρωπον τοῦ Θεοῦ.

Στιχηρά. Ἦχος δ'. *Ὁ ἐξ ὑψίστου κληθεὶς οὐκ ἀπ' ἀνθρώπων*

F. 145 Ὁ τὴν πτωχείαν τοῦ πνεύματος πλουτήσας,
ὅτε ὁ σωτήριος πόθος ἐνέσκηψε
τῇ σῇ καρδίᾳ, θεόληπτε,
πρὸς οὐρανόν σε
ὅλον μετάρσιον ἐργαζόμενος,
τότε τὸν ἐπίγειον πλοῦτον ἐμίσησας
καὶ τὴν πτωχείαν ἠγάπησας,
τὸν κενωθέντα
μέχρι καὶ δούλου μορφῆς μιμούμενος·
ὅθεν αὐτός σε
διαδήματι βασιλείας τῆς ἄνω ἐκόσμησε
καὶ μακάριον ὄντως ἀνηγόρευσεν, Ἀλέξιε.

Ὅμοιον.

Δεσποτικὴν ἐκπληρῶν νομοθεσίαν
γονέων ἠμέλησας ἐμφύτου σχέσεως
καὶ τὴν ψυχήν σου ἐμίσησας,
ἵνα φυλάξῃς
εἰς τὴν ζωὴν αὐτὴν τὴν αἰώνιον·
ὅθεν ἀναδέδειξαι τοῦ οὐρανίου πατρὸς
ἄξιος κλήσει καὶ πράγματι,
σύ, χρηματίσας
τοῦ Θεοῦ ἄνθρωπος καὶ ἀπείληφας
τὴν τῶν θαυμάτων
θείαν δύναμιν καὶ λυτροῦσαι τοὺς πόθῳ τιμῶντας σε
χαλεπῶν ἐκ κινδύνων καὶ μελλούσης κατακρίσεως.

Heirm. stich. HR 166

1 II Co. 8: 9 **8-9** Phil. 2: 7 **13-14** Mat. 10: 37 **15** Jno. 12: 25

www.tezaurliturgic.ro

διὰ νηστείας κεκαθαρμένους
καὶ τὰ ἐπὶ γῆς μέλη νεκρώσαντας
F. 178 τὸν ζωηφόρον σταυρὸν ἀξίωσον προσκυνῆσαι
καὶ μετὰ τοῦτο τὴν σωτήριον ἀνάστασιν,
ἐκτενῶς ἱκετεύων
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν θεοτοκίον.

*

* *

XVI. Μηνὶ μαρτίῳ ΙΖ'.
Ἀκολουθία εἰς τὸν ἅγιον Ἀλέξιον, τὸν ἄνθρωπον τοῦ Θεοῦ.

Στιχηρά. Ἦχος δ'. Ὁ ἐξ ὑψίστου κληθεὶς οὐκ ἀπ' ἀνθρώπων

F. 145 Ὁ τὴν πτωχείαν τοῦ πνεύματος πλουτήσας,
ὅτε ὁ σωτήριος πόθος ἐνέσκηψε
τῇ σῇ καρδίᾳ, θεόληπτε,
πρὸς οὐρανόν σε
ὅλον μετάρσιον ἐργαζόμενος,
τότε τὸν ἐπίγειον πλοῦτον ἐμίσησας
καὶ τὴν πτωχείαν ἠγάπησας,
τὸν κενωθέντα
μέχρι καὶ δούλου μορφῆς μιμούμενος·
ὅθεν αὐτός σε
διαδήματι βασιλείας τῆς ἄνω ἐκόσμησε
καὶ μακάριον ὄντως ἀνηγόρευσεν, Ἀλέξιε.

Ὅμοιον.

Δεσποτικὴν ἐκπληρῶν νομοθεσίαν
γονέων ἠμέλησας ἐμφύτου σχέσεως
καὶ τὴν ψυχήν σου ἐμίσησας,
ἵνα φυλάξῃς
εἰς τὴν ζωὴν αὐτὴν τὴν αἰώνιον·
ὅθεν ἀναδέδειξαι τοῦ οὐρανίου πατρὸς
ἄξιος κλήσει καὶ πράγματι,
σύ, χρηματίσας
τοῦ Θεοῦ ἄνθρωπος καὶ ἀπείληφας
τὴν τῶν θαυμάτων
θείαν δύναμιν καὶ λυτροῦσαι τοὺς πόθῳ τιμῶντας σε
χαλεπῶν ἐκ κινδύνων καὶ μελλούσης κατακρίσεως.

Heirm. stich. HR 166

1 II Co. 8: 9 **8-9** Phil. 2: 7 **13-14** Mat. 10: 37 **15** Jno. 12: 25

www.tezaurliturgic.ro

Ὅμοιον.

Ὦ παραδόξου τῷ ὄντι μυστηρίου,
οἷον εἶδεν ἥλιος ἐν γῇ τεράστιον·
ἄνθρωπος, γένους λαμπρότητι
καὶ πλούτῳ βρίθων
καὶ πολλοὺς ἔχων τοὺς θεραπεύοντας,
ἄπολις, ἀνέστιος, πτωχὸς ἑκούσιος,
ἄτροφος, κρύει πηγνύμενος,
προσερριμένος
τοῖς ἑαυτοῦ πυλῶσιν, ἐμπαροινούμενος
ὑπὸ τῶν παίδων·
ἀλλ' ὁ κόλπος σε τοῦ Ἀβραάμ, Ἀλέξιε, δέχεται
καὶ σκηναὶ τῶν δικαίων, ἔνθα ἦχος ἑορτάζοντος.

F. 145v

Ὅμοιον.

Ἃ μὲν ἡτοίμασεν ἄθλα καὶ βραβεῖα
Θεός σοι, πανόλβιε, ἐπὶ τοῦ μέλλοντος,
οὐκ ὀφθαλμὸς ἐθεάσατο
καὶ οὖς ἀνθρώπου
καὶ ἡ καρδία οὐ παρεδέξατο
καὶ νῦν δὲ σπουδάζοντα λαθεῖν ἐδόξασεν
ἐπὶ τοῦ τέλους τοῖς θαύμασι
καὶ εἰς αἰῶνα
τοῖς δεομένοις προστάτην ἔδειξε·
διὸ τοὺς πίστει
ἑορτάζοντας τὴν ἁγίαν σου μνήμην ἱκέτευε
τῶν πταισμάτων τὴν λύσιν καὶ τὸ μέγα εὑρεῖν ἔλεος.

Δόξα. Ἦχος πλάγιος β'. Ἄξίως τοῦ ὀνόματος

Ἀξίως τὴν κατάλληλον
ἐπωνυμίαν τῷ σῷ βίῳ πεπλούτηκας·

Heirm. stich. alterorum MR II 25

35 Lu. 16: 22-25 36 Ps. 41: 5; 117: 15 39-41 I Co. 2: 9

τὸν σταυρὸν γὰρ τοῦ Χριστοῦ ἐπ' ὤμων ἀράμενος
καὶ κατὰ τὴν ἐντολὴν ὅλον
ἑαυτὸν προθύμως ἀρνησάμενος,
ἔδραμες ὀπίσω διώκων
τοῦ παθόντος ἑκουσίως
καὶ τῶν παθῶν τὴν βρότειον
φύσιν ἀπαλλάξαντος·
ὅθεν φανεὶς Θεοῦ ἄνθρωπος
αὐτῷ μόνῳ ζῆν ἠρετίσω, σοφέ,
μηδενὶ τῶν ἐπὶ γῆς
ὅλως διεγνωσμένος,
ἀλλά σε ἐδόξασεν
ὁ τοὺς δοξάζοντας τοῦτον
ἀντιδοξάζων ὡς φιλάνθρωπος.

Εἰς τὸν στίχον ἰδιόμελον. Ἦχος πλάγιος β'.

Τὸ κατ' εἰκόνα Θεοῦ φυλάξας ἀκίβδηλον
διὰ πολιτείας εὐαγοῦς, ὅσιε Ἀλέξιε,
πρὸς τὸ καθ' ὁμοίωσιν ἀνέδραμες·
τῶν γὰρ ἐμφύτων ἄρξας παθῶν
καὶ τὰ ἐκτὸς ἅπαντα σκύβαλα ἡγησάμενος,
ἐν τοῖς πολυτρόποις πειρασμοῖς τὸν ἔσω ἄνθρωπον ἐκράτυνας
καὶ ἐπαρθεὶς τῶν ὅρων τῆς φύσεως,
τῇ πρὸς θεὸν ἀνατάσει θεοειδὴς ἐχρημάτισας·
ὅθεν ἄνθρωπος Θεοῦ τὸ ἐπώνυμον ἔσχες
καὶ σωτηρίας πρόγραμμα τοῖς βουλομένοις μιμεῖσθαι τὸν
[βίον σου κατέλιπες·
πρέσβευε, δεόμεθα, ὑπὲρ εἰρήνης τοῦ κόσμου
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

F. 146

Καὶ νῦν θεοτοκίον.
Ἀπολυτίκιον. Ἦχος πλάγιος β'.
Ἐν σοί, πάτερ, ἀκριβῶς.

Heirm. apolyt. HR 137, ubi autem μήτηρ pro πάτερ exstitit. Eiusdem troparii Me tantum initium refert in D.

51 Mat. 16: 24 65, 67 Ge. 1: 27 69 Phi. 3: 8 70 Eph. 3: 16-17

www.tezaurliturgic.ro

Εἰς τὸν ὄρθρον κανών, οὗ ἡ ἀκροστιχίς·
Δέχου τὸν ὕμνον, παμμάκαρ Ἀλέξιε, Μάρκου.

Ὠδὴ πρώτη. Ἦχος πλάγιος β'.
Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ

Δίδου μοι λέξεως χάριν καὶ θεαυγῶν
νοημάτων δύναμιν
εὐφημῆσαι τὴν σεπτήν
καὶ ἁγίαν μνήμην σου, σοφέ,
ἣν ἐδόξασε Θεός, μάκαρ Ἀλέξιε.

Ἐκ στειρευούσης νηδύος ὡς Σαμουὴλ
προελθών, ἀνέθηκας
σεαυτὸν τῷ ποιητῇ,
τῶν ἐκείνου φύλαξ ἐντολῶν
χρηματίσας ἀκριβής, πάτερ Ἀλέξιε.

Χαίροις, ὦ μέγιστε ἄνθρωπε τοῦ Θεοῦ
τὴν γὰρ φύσιν ἤρνησαι
καὶ σταυρώσας σεαυτὸν
κόσμῳ καὶ τοῖς πάθεσι, Θεῷ
μόνῳ ζῆν καὶ πολιτεύεσθαι προῄρησαι.

Θ. Ὁ ἐκ παρθένου πτωχεύσας ὑπερβολῇ
εὐσπλαγχνίας, Κύριε,
τὴν οὐσίαν τῶν βροτῶν
ἐπὶ γῆς καινὴν διαγωγὴν
ἐν πτωχείᾳ τοῖς σοῖς δούλοις καθυπέδειξας.

Ὠδὴ τρίτη. *Οὐκ ἔστιν ἅγιος ὡς σύ*

Ὑποχωρήσας ἀφανῶς
οἴκου καὶ συγγενείας

Heirm. α' EE 159, n. 224, Joannis
Heirm. γ' EE 159, n. 224, Joannis

82 I Ki. 1: 6: 20 **89-90** Ga. 6: 14 **97-98** Ge. 12: 1

καὶ γνωρίμων καὶ φίλων,
μετανάστης εἰς μακρὰν
πόλιν ἐγένου, σοφέ,
ξενιτεύων
καὶ πόνοις τρυχόμενος.

Τῆς Θεομήτορος ναῷ
προσεδρεύων ἀξίως,
ὑπ' αὐτῆς ἐγνωρίσθης
καὶ μὴ θέλων ὅστις εἶ
τῷ νεωκόρῳ, σοφέ,
τεθηπότι
τοὺς ξένους ἀγῶνας σου.

F. 146v Ὅλον τὸν νοῦν πρὸς τὸν Θεὸν
προσεχῶς καὶ ἀΰλως
ἀνατείνων, τρισμάκαρ,
ταῖς αὐτοῦ μαρμαρυγαῖς
ἐχρώσθης, ὅπερ αὐτὸς
κατ' οὐσίαν
θέσει γνωριζόμενος.

Θ. Ναὸν καὶ θρόνον σε Θεοῦ
καὶ παλάτιον, κόρη,
κιβωτόν τε καὶ στάμνον
καὶ λυχνίαν θεαυγῆ
καὶ πύλην συμβολικῶς
οἱ προφῆται πάντες
προδιέγραψαν.

118 III Ki. 6: 1, 5; III Ki. 10: 18 **119** III Ki. 7: 38
120 κιβωτός Ex. 38: 1-8 στάμνος Ex. 16: 33 **121** λυχνία Ex. 38: 13-17
122 Ez. 44: 1-3

www.tezaurliturgic.ro

F. 149v **Κάθισμα. Ἦχος πλάγιος δ'.**
Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρί

Τὴν οἰκίαν, θεόφρον, τὴν πατρικὴν
παροικήσας ὡς ξένος ἐν συντριβῇ
πτωχείᾳ τε πνεύματος,
ὥσπερ ἄλλος τις Λάζαρος,
προσερριμμένος ἔξω,
πτωχεύων, θλιβόμενος,
ὑπὸ οἰκείων παίδων
δεινῶς παροινούμενος,
τῆς τοῦ μακαρίου Ἀβραὰμ ἠξιώθης
ἐν κόλποις ἀνέσεως
καὶ χαρᾶς τοῦ Κυρίου σου,
θεοφόρε Ἀλέξιε·
πρέσβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων <ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου>.

F. 146v **Ὠδὴ τετάρτη. *Χριστός μου δύναμις Θεὸς καὶ Κύριος***

Ὑπὸ τοῦ πνεύματος καταλαμπόμενος
τῇ μορφῇ, πάτερ, ὅλος ἀγγελικὸς
ἐφαίνου, Ἀλέξιε,
διαδοθείσης ἐμφανῶς
τῆς ἐν σοὶ οἰκούσης χάριτος.

Μακραῖς δεήσεσι πανημερίοις τε
καὶ παννύχοις ἐν πένθει καὶ συντριβῇ

Heirm. cath. MR I 68. Post oden γ' Me cathismatis oblitus est, qua re in marg. superiore f. 146v scripsit: «ζήτησον τὸ κάθισμα εἰς τὸ τέλος», in editione nostra tamen hoc troparium post ipsam oden ut debet esse invenitur.

138 post πταισμάτων orat. intermittitur

Heirm. δ' EE 159, n. 224, Joannis

128 Lu. 16: 20-23 **133-134** Lu. 16: 22-25 **135** Mat. 25: 21

Θεὸν ἐθεράπευες,
δι' ἑβδομάδος τὴν τροφήν,
θεοφόρε, προσιέμενος.

Ναὸς γενόμενος Θεοῦ τοῦ ζῶντος, σοφέ,
τὴν καρδίαν μὲν ἔστησας μυστικὸν
ὡς θυσιαστήριον,
ἀρχιερέα δὲ τὸν νοῦν,
λογικὰς θυσίας φέροντα.

Θ. Ὁ μόνος ἄναρχος καὶ ἀτελεύτητος
ἐπ' ἐσχάτων τῶν χρόνων ἀρχὴν ἐν σοὶ
χρονικὴν ὑφίσταται
καὶ τελευτὴν ζωοποιὸν
διὰ πάθους, κόρη, δέχεται.

Ὠδὴ πέμπτη. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Νεώσας αὔλακας τῆς ψυχῆς
τῇ τῶν ἐντολῶν ἐργασίᾳ,
σπόρον τὸν θεῖον κατέβαλες,
ὃν δακρύων ὄμβροις ἐπάρδων, ἔδειξας
πολύχουν τῷ δεσπότῃ, μάκαρ Ἀλέξιε.

Περιϊστάμενος ἀσφαλῶς
δόξης τῆς ματαίας καὶ φευκτῆς,
τὰ ὀνειρώδη κηρύγματα
F. 147 φεύγων διετέλεις, ἀλλὰ καὶ ἄκοντα
Θεός σε τῇ πατρίδι πάλιν ἀπέδωκεν.

Ἀγωνιῶ καὶ πρὸς τὸ ἑξῆς
βλέπων τοῦ σοῦ βίου, θεόφρον,
ὑπερφυῶς καταπλήττομαι,
πῶς ὁμοῦ πρὸς φύσιν ἀντικαθίστασο,
πρὸς δαίμονας, πρὸς δούλους ἐμπαροινοῦντας σοι.

Heirm. ε' EE 159, n. 224, Joannis

151 I Co. 3: 16; II Co. 6: 16 **157** Ac. 2: 17; He. 1:1 **163** Cfr. Mar. 4: 26-27

www.tezaurliturgic.ro

Θ. Μαρία, *πάναγνε, τὴν ἐμὴν*
ποίησον ψυχὴν ὡς Μαριὰμ
τὸν ἐπινίκιον ᾄδουσαν,
ὥσπερ ἐν τυμπάνῳ τῇ τῶν ἐμφύτων παθῶν
νεκρώσει τοὺς ἐχθρούς μου καταποντίσασα.

Ὠδὴ ἕκτη. *Τοῦ βίου τὴν θάλασσαν*

Μονὴν *τὴν αἰώνιον*
ἐν οἰκίᾳ τοῦ πατρὸς
τοῦ οὐρανίου, ὅσιε,
ἐπιζητῶν προσκτήσασθαι, πατρικὴν
οἰκίαν παρῴκησας,
ὡς προσαίτης καὶ ξένος ἐμπαιζόμενος.

Ἀβίωτον *ἤγηντο*
τὴν ζωὴν οἱ εὐκλεεῖς
πατέρες σου, θεσπέσιε,
τῇ σῇ στερήσει, μάκαρ, περιπαθῶς
ἐπολοφυρόμενοι,
ἐν χερσὶ δέ σε ἔχοντες οὐκ ᾔδεσαν.

Κατ᾽ *ἴχνος ἐζήλωσας*
τὸν γενναῖον ἀθλητὴν
Ἰὼβ *τὸν ἀδαμάντινον,*
ἐν πειρασμοῖς ἀκλόνητος ἑστηκώς,
ἀνθρώποις καὶ δαίμοσι
καὶ τῇ φύσει παλαίων, ὦ τοῦ θαύματος.

Θ. Ἁγία *θεόνυμφε,*
σὲ τιμῶν ὁ ἱερὸς
θεράπων σου Ἀλέξιος
ἁγιασμὸν ἐδίωξε καὶ Θεὸν
ἰδεῖν κατηξίωται,
τῶν θαυμάτων τὴν χάριν κομισάμενος.

Κοντάκιον. Ἦχος β′. *Τὰ ἄνω ζητῶν*

Ῥεούσης *τρυφῆς*
καὶ δόξης κατεφρόνησας,
τῆς ἄνω τιμῆς,
Ἀλέξιε, *γλιχόμενος*
καὶ πτωχεύσας πνεύματι
τὸν Θεὸν ἐπλούτησας, ὅσιε,
F. 147v *παρ᾽ αὐτοῦ τὴν χάριν λαβών,*
πρεσβεύειν ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Ὁ *οἶκος. Τράνωσόν μου τὴν γλῶτταν, Σωτήρ μου, πλάτυνόν μου τὸ στόμα*

Τοῦ Ἰησοῦ *μου τὴν ξενιτείαν εἰς τὰ ἴδια χαίρων*
ὁ αὐτοῦ μιμητὴς Ἀλέξιος διετύπωσε·
τοῖς γὰρ ἰδίοις προσερριμμένος προπυλαίοις ὑπέμενεν,
ἐν κακώσει καὶ πειρασμοῖς ἀμυθήτοις ἀνύων τὸν ἅπαντα
[βίον ὁ δίκαιος·
ὃν ἐγὼ φιλῶν ἐξαιρέτως προῄρημαι
τοῖς ἐγκωμίοις ὡς ἄνθεσιν ἀναδῆσαι,
δεόμενος τούτου Χριστῷ
πρεσβεύειν ἀπαύστως
ὑπὲρ πάντων ἡμῶν.

Heirm. ς′ EE 159, n. 224, Joannis

177-178 Ex. 15: 20-21 **181-182** Jno. 14: 2 **195-198** Jb. 1: 22; 1: 16; 2: 7-8, 9

Heirm. cont. MR I 17 **Heirm. oec.** MR IV 396

202-203 Cfr. Mat. 5: 8 **209** Mat. 5: 3 **213** Cfr. Mat. 25: 35 **214** Cfr. Eph. 5: 1

www.tezaurliturgic.ro

Ὠδὴ ἑβδόμη. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Ῥωμαλέως ταῖς ἀνάγκαις ταῖς τῆς φύσεως
πάσαις ἀπομαχόμενος,
τῷ ἀλάστορι
τὰς πληγὰς ἐδίδους ἐνεργεῖς·
διόπερ σφαδάζων τῷ θυμῷ
τοὺς σοὺς οἰκέτας κατὰ σοῦ, μάκαρ, διήγειρεν.

Ἀνεκήρυξε Θεὸς ἐπὶ τοῦ τέλους σε
ἐν ὑψηλῷ κηρύγματι,
συγκαλούμενος
βασιλεῖς καὶ ἄρχοντας ὁμοῦ
καὶ δῆμον καὶ ἅπαντα λαὸν
σὺν ἱεράρχαις εἰς τὴν σήν, πάτερ, μετάστασιν.

Λαθεῖν σπεύδων ἐν τῷ βίῳ τοῖς ποθοῦσι σε,
λέξιν οὐ προενήνοχας
εἰς φανέρωσιν,
ὃ ἐγένου, μάκαρ, προκληθείς,
ἀλλ' ἤδη τῷ τέλει προσβαλὼν
διὰ τοῦ τόμου φανεροῖς σαυτόν, Ἀλέξιε.

Θ. Ἐπί σοί, μῆτερ παρθένε, χαίρει ἅπασα
κτίσις, ἡ τῶν ἀγγέλων πληθὺς
καὶ ἡ βρότειος,
θεοδόχε, κλίνη, λογικὲ
παράδεισε, σκήνωμα Θεοῦ
χρυσοπορφύρωτε παστάς, φαιδρὸν ἀνάκτορον.

F. 148 **Ὠδὴ ὀγδόη. *Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας***

Ξενοτρόπως βιώσας ξένοις χαρίσμασιν
ἐδοξάσθης, τρισμάκαρ, καὶ μετὰ θάνατον·

Heirm. ζ′ EE 159, n. 224, Joannis
Heirm. η′ EE 159, n. 224, Joannis

229 Pr. 9: 3 . . **230-232** Cfr. Lu. 23: 13

βάσεις γὰρ χωλῶν ἐστερέωντο, ὄμματα
τυφλῶν ὑγιοῦντο
καὶ τῶν ἀλάλων γλῶσσαι.

Ἱερὸν τοῦ δεσπότου κατοικητήριον
καὶ ναὸς τοῦ ἁγίου γέγονας πνεύματος
διὰ τελειότητος βίου, Ἀλέξιε·
ὅθεν εἰς ἄὔλους
μετέβης κατοικίας.

Ἐγκοσμοῦνται τῇ κλήσει τῇ σῇ καλούμενοι
βασιλεῖς καὶ δυνάσται, ἐπικαλούμενοι
πρὸς τὴν κατ' ἐχθρῶν συμμαχίαν τὰς σὰς προσευχάς,
αἷς παρὰ Κυρίῳ
δύνασαι τὰ μεγάλα.

Θ. Μετὰ τόκον παρθένος, κόρη, διέμεινας
ὡς πρὸ τόκου· Θεὸν γὰρ ἀφράστως τέτοκας,
πνεύματος ἐν σοὶ τοῦ ἁγίου σκηνώσαντος·
ὅθεν σε ὑμνοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ ἐνάτη. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Ἀρχαί, δυνάμεις καὶ κυριότητες,
ἐξουσιῶν τὰ στίφη καὶ ἀρχάγγελοι, ἄγγελοι,
Χερουβίμ, Σεραφίμ τε καὶ θρόνοι φρικτοὶ
σὺν τοῖς ἁγίοις πᾶσι
γῆθεν ἀπαίρουσαν
σύνοικον τὴν θείαν σου ψυχήν, μάκαρ, ἐδέξαντο.

Ῥητόρων γλῶσσαι, φωναὶ διάτοροι,
ἐποποιῶν ᾠδαὶ καὶ μουσολόγων αἱ χάριτες
εἰς ταὐτὸν συνελθοῦσαι οὐ σθένουσιν
ἄξιον ὕμνον πλέξαι
σοί, παναοίδιμε·
ὅμως εὐμενῶς μοι τὴν ᾠδὴν ταύτην προσδέξαιο.

Heirm. θ′ EE 159, n. 224, Joannis

www.tezaurliturgic.ro

Κρατήσας ἤδη τὰ ἐλπιζόμενα
καὶ τῷ Θεῷ ἀμέσως ὁμιλῶν, καθικέτευε
δωρηθῆναι εἰρήνην τῷ κόσμῳ παντί,
F. 148^{v} νίκας τοῖς βασιλεῦσι,
βίον ἀπήμονα
καὶ εἰρηνικὴν διαγωγὴν τοῖς εὐφημοῦσί σε.

Ὁ ὢν τῇ φύσει χρηστὸς καὶ εὔσπλαγχνος,
ὁ θελητὴς ἐλέους, εὐσπλαγχνίας ἡ ἄβυσσος
ταῖς πρεσβείαις, δέσποτα, τοῦ σοῦ ἀσκητοῦ
λῦσον τῆς ἐκκλησίας
πάντα τὰ σκάνδαλα
καὶ τῆς πολιτείας τὸν βαρὺν χειμῶνα κούφισον.

Θ. Υἱὸν καὶ λόγον Θεοῦ γεγέννηκας
σωματικῶς υἱόν σου γεγονότα, πανάμωμε,
ἐν δυσὶν οὐσίαις ὑποστάσει μιᾷ
ὅλον ἐν ἀμφοτέροις,
ὃν καθικέτευε
σὺν ταῖς οὐρανίαις στρατιαῖς ὑπὲρ ἡμῶν, ἀγαθή.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις

Ὁ τοῦ ὁσίου τὴν μνήμην
ἐπὶ τῆς γῆς ἀναδείξας
κλητὴν ἁγίαν ἡμέραν
καὶ ἑορτὴν εὐφροσύνης,
ταῖς παρακλήσεσι τούτου
σῶσον, ἁγίασον πάντας.

Heirm. exap. HR 53

285 Mi. 7: 18 298 Ex. 12: 16

Εἰς τοὺς αἴνους στιχηρά. Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν

Τὸν ἐκ δύσεως λάμψαντα
φαεσίμβροτον ἥλιον
καὶ τὴν κτίσιν ἅπαντα κατευφραίνοντα
ταῖς τῶν θαυμάτων φαιδρότησι
καὶ σκότος ἐξαίροντα
ἀθυμίας τοῖς αὐτοῦ
φαεινοῖς διηγήμασι,
τὸν οὐράνιον
ἐπὶ γῆς πολιτείαν
μετελθόντα,
εὐφημήσωμεν ἐν ὕμνοις
τὸν τοῦ Θεοῦ ὄντως ἄνθρωπον.

Ὅμοιον.

Τὴν ἁγνείαν ἐπόθησας,
τὴν πτωχείαν ἠγάπησας,
τὴν καλὴν πραότητα καὶ ταπείνωσιν,
δικαιοσύνην καὶ φρόνησιν,
ἀνδρείαν, ἐγκράτειαν,
οἱαπέρ τις βασιλεὺς
F. 149 δορυφόρους προσέλαβες,
τῷ μεγάλῳ σε
βασιλεῖ παριστώσας
καὶ ταῖς ἄνω
ἐξουσίαις συναπτούσας,
ὅσιε πάτερ Ἀλέξιε.

Ὅμοιον.

Τὸν Χριστόν, ὃν ἠγάπησας,
οὗ τοὺς λόγους ἐποίησας,
οὗ τὰ ἔργα, ἐνδοξε, ἐξετέλεσας,

Heirm. stich. **εἰς τοὺς αἴνους** HR 290
vv. **302-313** δίς in marg. scripsit Me in D
vv. **326-337** ἕν in marg. scripsit Me in D

www.tezaurliturgic.ro

οὗ τὰ παθήματα ἔστερξας,
δυσώπει δωρήσασθαι
βασιλεῦσι κατ᾽ ἐχθρῶν
τροπαιοῦχον ἀντίστασιν
καὶ ὁμόνοιαν
τοῖς αὐτὸν σεβομένοις,
ἐπαξίως
ἐκτελοῦσι σου τὴν μνήμην,
θαυματοφόρε Ἀλέξιε.

Δόξα. Ἦχος πλάγιος δ΄.

Ἔδειξας, θεοφόρε,
τῇ ὑπερφυεῖ καὶ ἰσαγγέλῳ πολιτείᾳ σου
τῶν δεσποτικῶν ἐνταλμάτων τὸ δυνατόν·
τὴν γὰρ πτωχείαν ἀγαπήσας,
οὐκ ἐπὶ ξένης μόνον ἐκαρτέρησας,
ἀλλὰ καὶ ἐν μέσοις στρεφόμενος τοῖς οἰκείοις,
ἀγνοούμενος, θλιβόμενος,
ὑστερούμενος, κακουχούμενος,
ὀνειδιζόμενος καὶ ἐμπαιζόμενος
ἀθλητικώτατα διήνεγκας·
ὅθεν ἐπὶ τέλει τῶν ἀγώνων
ὡς τὸν Ἰὼβ ἀνεκήρυξε
καὶ ἰαμάτων χαρίσμασι τὴν ἱεράν σου κορυφὴν ὁ δεσπότης
[ἐστεφάνωσεν·
αὐτὸν ἱκέτευε, πανσεβάσμιε,
ὑπὲρ ὀρθοδόξων βασιλέων
καὶ πάντων τῶν ἐν πίστει τελούντων
τὴν ὁλόφωτον καὶ ὑπέρλαμπρον μνήμην σου.

Καὶ νῦν θεοτοκίον.

Εἰς τὸν στίχον. Δόξα. Ἦχος δ΄.

Ἐν τῷ πυρὶ τῶν πειρασμῶν ἑκουσίως χωνευόμενος,
ἐδοκιμάσθης ὥσπερ χρυσίον, παναοίδιμε Ἀλέξιε,

334-346 He. 11: 37 **349** Jb. 42: 10 **355-356** Wi. 3: 6

τῶν οἰκειοτάτων τὴν παρόρασιν
καὶ τὰς παρ᾽ αὐτῶν κακώσεις
ἀσμένως ὑποδεχόμενος
F. 149[v] *καὶ τοῦ ἐρωμένου δεσπότου φανταζόμενος τὸ κάλλος,*
σὺν τῷ ἀποστόλῳ ἐβόας·
«τίς ἡμᾶς χωρίσει ἐκ τῆς ἀγάπης τοῦ Χριστοῦ;»·
καὶ αὖθις·
«οὐκ ἄξια τὰ τοῦ νῦν καιροῦ παθήματα
πρὸς τὴν μέλλουσαν ἡμῖν δόξαν ἀποκαλύπτεσθαι»·
ἧς καὶ τυχὼν ὡς ἐπόθεις
πρέσβευε καὶ ἡμᾶς συμμετασχεῖν,
τοὺς ἐν πίστει τὴν μνήμην σου ἑορτάζοντας.

*

* *

362-365 Ro. 8: 35

www.tezaurliturgic.ro

XVII. Μάρκου ἱερομονάχου. Ἀκολουθία εἰς τὸν ἅγιον καὶ μέγαν προφήτην καὶ θεόπτην Ἠλίαν τὸν Θεσβίτην

F. 190 **Στιχηρά. Ἦχος δ'.**
Ὁ ἐξ ὑψίστου κληθεὶς οὐκ ἀπ' ἀνθρώπων

Ὁ ἐν πυρίνῳ τεθρίππῳ διανύσας
τὴν ξένην καὶ ἄτριπτον ἀνθρώποις ἄνοδον,
τῶν προφητῶν τὸ κεφάλαιον,
ὁ θεοφόρος
ἡμᾶς Ἠλίας νῦν συνεκάλεσεν,
ἀναλαμβανόμενος εἰς οὐρανοὺς ἀπὸ γῆς·
πάντες προθύμως συνέλθωμεν,
ἀνευφημοῦντες
τὰ ὑπὲρ λόγον αὐτοῦ τεράστια,
τὴν ἀσαρκίαν,
τὴν ἐγκράτειαν, τὴν ἁγνείαν, τὸν ζῆλον τὸν ἔνθεον,
δι' ὧν πᾶσαν τὴν φύσιν
τῶν ἀνθρώπων ὑπερήλασεν.

Ὅμοιον.

Τῆς ἀνωτάτω σοφίας ὑποφῆτα,
ὅτε σε ὁ ἔνθεος ζῆλος ἐξέκαυσε
καὶ τὴν ψυχὴν ἀνηρέθισεν
ἐπιζυγῶσαι
τὰς οὐρανίους πύλας τῷ ῥήματι,
τότε τεσσαράκοντα διηνυκὼς ἡμερῶν
ὁδὸν νηστεύων καὶ ἄτροφος,
ἐν τῷ σπηλαίῳ
τῷ ἐν Χωρὴβ ἰδεῖν κατηξίωσαι
Θεὸν ἐν αὔρᾳ
λεπτοτάτῃ οὐ συσσεισμῷ, οὐ πυρί, οὐδὲ πνεύματι,
ὃν ταῖς σαῖς ἱκεσίαις καὶ ἡμῖν ἵλεων ποίησον.

Tit. Μάρκου ἱερομονάχου et τὸν Θεσβίτην om. Me in D
Heirm. stich. HR 166
7 συνέλθωμεν D, B: συνέλθομεν Pi **19** διηνυκῶς (sic) Me in D
25 ἱκεσίαις om. Pi

1-16 IV Ki. 2: 11 **11** III Ki. 19: 10 **19-22** III Ki. 19: 8 **22-24** III Ki. 19: 11-12

Ὅμοιον.

Πεντηκοντάρχους διττοὺς συγκαταφλέξας
πυρὶ θεοπέμπτῳ τε θῦμα εὐπρόσδεκτον
ἐξαναλώσας, κατέκρινας
τοὺς τῆς αἰσχύνης
θεραπευτάς, Ἠλία θεόπνευστε,
ῥοῦν δὲ ἰορδάνειον τῇ μηλωτῇ διελθών,
τῷ Ἐλισσαίῳ τὴν χάριν σου
διπλῆν ἀφῆκας
καὶ ἐν πυρίνῳ δίφρῳ μετάρσιος
ἀεροπόρος
F. 190v ἀνελήφθης εἰς οὐρανοὺς μετὰ σώματος, ἔνδοξε,
τῷ δεσπότῃ πρεσβεύων
τοῦ σωθῆναι τοὺς τιμῶντας σε.

Ὅμοιον.

Ὁ οὐρανοβάμων ἱππεὺς ἁρματηλάτης
αἰθέριος πύρινος ὅλος γενόμενος
καὶ τοῖς πυρίνοις ἐν χάριτι
Θεοῦ ἀγγέλοις
συλλειτουργήσας τῷ παντοκράτορι,
ἔτι μετὰ σώματος τὴν τελευταίαν Χριστοῦ
προφθάνεις ἔλευσιν, ἔνδοξε,
τῆς μετανοίας
παντὶ τῷ κόσμῳ κήρυξ ἐσόμενος,
ἣν ἀνεγκλήτως
ὑπαντῆσαι τοὺς ἐκτελοῦντας τὴν μνήμην σου πρέσβευε
καὶ τῆς θείας σου δόξης
κοινωνοὺς ἡμᾶς ἀνάδειξον.

26-38 hoc troparium post troparium qui sequitur (vv. 39-51) edidit Pi
27 θῦμα D, B: θαῦμα Pi **36** θῦμα D, B: πρὸς Pi **38** τοὺς τιμῶντας D, B: τὰς ψυχὰς ἡμῶν Pi **39** ὁ om. B **47** κήρυξ (sic) Me in D

26 IV Ki. 1: 9-12 **31** IV Ki. 2: 8 **32-33** IV Ki. 2: 13-14
34-36 IV Ki. 2: 11 **39-40** IV Ki. 2: 11-12 **47** Cfr. Re. 11: 3-12

www.tezaurliturgic.ro

Κανών, οὗ ἡ ἀκροστιχίς· Τὴν πυρίπνουν δύναμιν Ἡλιοὺ σέβω, Μάρκος.

Ὠδὴ πρώτη. Ἦχος πλάγιος δ'. Ἁρματηλάτην Φαραὼ ἐβύθισε

Τῆς παγκοσμίου συντελείας, ἔνδοξε,
κήρυξ ἐσόμενος
καὶ τοῦ κριτοῦ πάντων
τῆς φρικτῆς ἐλεύσεως,
ἀκατακρίτως ποίησον
ὑπαντῆσαι με ταύτην
τῶν σῶν θαυμάτων γεραίροντα,
μάκαρ Ἡλιού, τὴν λαμπρότητα.

Ἡ τοῦ σεπτοῦ καὶ παναγίου πνεύματος
θεία ἐνέργεια
τὴν σὴν ψυχήν, μάκαρ,
ἐμφανῶς πληρώσασα,
Θεὸν ἄλλον εἰργάσατο
τῇ τε κλήσει καὶ πράξει
καὶ τῇ τοῦ βίου λαμπρότητι
καὶ ταῖς τῶν θαυμάτων δυνάμεσιν.

Νεανικῶς τοῦ τῆς σαρκὸς φρονήματος
κατακρατήσας, σοφέ,
τὴν ἀτριβῆ πρῶτος
καὶ τραχεῖαν ὥδευσας
τῆς ἀρετῆς ἀκρότητα,
καθαρὰν ἀζυγίαν
καὶ παρθενίαν ἑλόμενος
καὶ οἰκῶν ὡς πόλιν τὴν ἔρημον.

Θ. Πεποικιλμένη διαχρύσοις κάλλεσιν
ἱματισμοῦ ἀρετῶν
ὡς βασιλίς, κόρη,

Heirm. α' EE 219, n. 314, Joannis

52-54 Re. 11: 3-12 **76-77** Ps. 44: 9

βασιλεῖ παρέστηκας
τῷ αἰωνίῳ, δέσποινα,
μητρικῇ παρρησίᾳ
τοῖς σε πιστῶς μεγαλύνουσιν
ἐξιλεουμένη τὸν εὔσπλαγχνον.

Ὠδὴ τρίτη. Ὁ στερεώσας κατ' ἀρχὰς

Ὑλομανήσασαν τὴν γῆν
ταῖς τῶν δαιμόνων ἀπάταις
F. 191 καὶ εἰδώλων ἐναγῶν πληρωθεῖσαν
ἐξεκάθηρας, σοφέ,
τὰς οὐρανίους ῥήματι
ἐπιζυγώσας πύλας
καὶ τὸν αὐχμὸν ἐργασάμενος.

Ῥίζης βλαστήσας ἱερᾶς,
ἱερωσύνης τοὺς τύπους
ὑπερβάς, τῇ κατὰ πνεῦμα λατρείᾳ
προσεχώρησας, σοφέ,
καὶ προφητείας χάριτι
κατεκοσμήθης, βλέπων
ὡς ἐνεστῶτα τὰ μέλλοντα.

Ἵνα τὴν αἴγλην τοῦ φωτὸς
τοῦ ἀπορρήτου χωρήσῃς,
τῶν ῥευστῶν καὶ φθειρομένων πραγμάτων
κατεφρόνησας ὁμοῦ,
βίον βιώσας ἄϋλον
καὶ οὐρανὸν ὡς ἄλλον
ἔχων, προφῆτα, τὸν Κάρμηλον.

Θ. Παρθενικῆς ἀπὸ γαστρὸς
ὁ τοῦ Θεοῦ Θεὸς Λόγος
προελθεῖν μετὰ σαρκὸς εὐδοκήσας,

Heirm. γ' EE 219, n. 314, Joannis

88-89 III Ki. 17: 1 **96** Cfr. I Ki. 9: 9 **104** III Ki. 18: 20-40

www.tezaurliturgic.ro

προαπέστειλεν αὐτοῦ
τῆς παρουσίας ἄγγελον
τὸν εὐκλεῆ προφήτην
Ἠλίαν τὸν μεγαλώνυμον.

Ὠδὴ τέταρτη. *Σύ μου, Χριστέ,*

Νόμων Θεοῦ
προκινδυνεύων, πανόλβιε,
διελέγχεις
τοὺς παρανομήσαντας
καὶ ἀσεβήσαντας βασιλεῖς
καὶ τὰς οὐρανίους
σταγόνας κλείεις τῷ ῥήματι
καὶ πάλιν διανοίγεις,
θεϊκῇ ἐξουσίᾳ
τοῖς στοιχείοις πρὸς βούλησιν χρώμενος.

Ὁ τῷ λιμῷ
καταδικάσας τοὺς πταίσαντας,
τῇ ἐνδείᾳ
καὶ αὐτὸς ὑπάγεται
καὶ πρὸς χειμάρρουν αὐτομολεῖ
καὶ διὰ ὀρνέου
τροφὴν αὐτόματον δέχεται·
διό σε τῆς προνοίας
ἐκπλαγέντες, οἰκτίρμον,
τῇ δυνάμει σου «δόξα» κραυγάζομεν.

Ὑπὸ Θεοῦ
τῇ Σαραφθίᾳ πεμπόμενος
τροφοδότης

Heirm. δ' EE 219, n. 314, Joannis
118 fortasse σιαγόνας

114-116 III Ki. 18: 18 **117-118** III Ki. 17: 1 **122-123** III Ki. 17: 1
126- 128 III Ki.. 17: 4-6 **132-133** III Ki. 17: 9

ἄγαν εὐπορώτατος,
ἐκ τῶν μικρῶν τε καὶ πενιχρῶν
τῆς τροφῆς λειψάνων
πλουσίως τρέφεις τὴν τρέφουσαν
κενώσει πληρουμένων
διαρκῶς πηγαζόντων
φιλοξένου πρὸς γνώμης ἀντίδοσιν.

F. 191ᵛ **Θ.** Νέον ἡμῖν
Θεὸν παιδίον ἐγέννησας
πρὸ αἰώνων,
τὸν συγκαθεζόμενον
τῷ προανάρχῳ αὐτοῦ πατρὶ
καὶ τῷ παναγίῳ
συνδοξαζόμενον πνεύματι,
Μαρία Θεοτόκε,
διὰ σπλάγχνα ἐλέους
χρηματίσαι υἱόν σου θελήσαντα.

Ὠδὴ πέμπτη. *Ἵνα τί με ἀπώσω*

Δι' ἑνώσεως ἄκρας
τὸ θεοειδὲς ἀκριβῶς ἐκμαξάμενος,
τὸν νεκρὸν ἐγείρεις
τῷ τριττῷ ἐμφυσήματι, ἔνδοξε,
ὥσπερ ἐν ἀρχῇ Θεὸς Ἀδὰμ τῷ πρωτοπλάστῳ
τὴν πνοὴν τῆς ζωῆς ἐνεφύσησεν.

Ὑπ' αὐτοῦ τοῦ δεσπότου
προκεχειρισμένος ἱερεὺς θεόληπτος,
ἐπικλήσει θείᾳ
καὶ πυρὶ οὐρανίῳ κατέφλεξας
τὴν θυσίαν, μάκαρ, καὶ τὸν λαὸν τῶν Ἰουδαίων
ἐκ τῆς πλάνης τοῦ Βάαλ ἐξήρπασας.

Heirm. ε' EE 219, n. 314, Joannis

136-141 III Ki. 17: 12-15 **150** Lu. 1: 78 **154-155** III Ki. 17: 21
155 Ge. 2: 7 **161-163** III Ki. 18: 38-40

www.tezaurliturgic.ro

Νόμοις θείοις ἀμύνων
τοὺς τῆς ἀνομίας ὑποφήτας ἅπαντας
ὡς Θεοῦ προφήτης
θείῳ ζήλῳ τῷ ξίφει παρέδωκας,
ὅπως ἀφανίσῃς τὴν βδελυρὰν ἐκείνων πλάνην
καὶ τὸ ἄθεον, ἔνδοξε, φρόνημα.

Θ. Ἀνεκφράστω, παρθένε,
τρόπῳ κατοικήσας σε, ἄνθρωπος γίνεται
τοῦ Θεοῦ ὁ λόγος,
ὁ τὰ ὄρη σταθμῷ στήσας, δέσποινα,
καὶ ζυγῷ τὰς νάπας καὶ ἀριθμῶν σταγόνας δρόσου
καὶ ἀνέμων πνοῇ μέτρα θέμενος.

Ὠδὴ ἕκτη. Ἄβυσσος ἁμαρτιῶν

Μόνος μόνῳ τῷ Θεῷ
ὁμιλήσας κεκυφὼς ἐπὶ γόνυ
καὶ πρὸς αὐτὸν ἐρείσας
ἀκλινῶς τὴν διάνοιαν,
τῷ λαῷ τοῦ Ἰσραὴλ
τοῦτον διήλλαξας ἑπταικότι
καὶ ὑετῷ τὴν γῆν ἐμέθυσας.

Ἵνα δείξῃς ἐμφανῶς
ὡς οὐδὲν ἄνευ Θεοῦ βοηθείας
ἡ ἀνθρωπίνη φύσις
ὑπομεῖναι δυνήσεται,
γυναικὸς τὴν ἀπειλὴν
φεύγεις, προφῆτα, προφητοκτόνου,
ὁ στήσας ὄμβρων τὴν ἐπίκλυσιν.

Νέος οἷα Μωϋσῆς
ἐν ἰσχύι μιᾶς βρώσεως μόνης

Heirm. ς′ EE 222, n. 318, Joannis

164-167 III Ki. 18: 40 **173-175** Is. 40: 12-15 **177** III Ki. 18: 42
182 III Ki. 18: 45 **187-188** III Ki. 19: 3

τεσσαρακονθημέρῳ
ἀσιτίᾳ χρησάμενος,
ἐν τῷ ὄρει τῷ Χωρηβ
F. 192 εἶδες Θεὸν ὡς ἐκεῖνος πάλαι
ἐν λεπτοτάτῃ αὔρᾳ, ἔνδοξε.

Θ. Ἠκουσται καινοπρεπῆ
καὶ λελάληται παράδοξα, κόρη,
περὶ τῆς σῆς λοχείας,
ὡς Θεὸν σωματούμενον
περιέσχες ἐν γαστρί,
τὸν ἐν προφήταις λαλοῦντα πάλαι
καὶ νῦν πληροῦντα τὰς προρρήσεις αὐτῶν.

Ὠδὴ ἑβδομη. Θεοῦ συγκατάβασιν

Λαβὼν ἐκ τῆς ἄνωθεν
θεοφανείας, μάκαρ, τὸ σύνθημα,
μαθητὴν καὶ προφήτην
τὸν Ἐλισσαῖον αὐτίκα ἔδειξας,
ἀκολουθοῦντα
σὺν σοὶ καὶ συμψάλλοντα·
«εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν».

Ἰδὼν ὁ παράνομος
τὸν ἀμπελῶνα τοῦ ἀγρογείτονος,
ἐπεθύμησε τούτου
καὶ μιαρᾷ γυναικὶ πειθόμενος,
μιαιφονίας
ὑπεύθυνος γίνεται
καὶ παγγενεῖ ἀπωλείᾳ κατακρίνεται.

Heirm. ζ′ EE 219, n. 314, Joannis

192-194 III Ki. 19: 8 **195- 196** Ex. 24: 17-18; III Ki. 19: 12
198 Cfr. Ps. 86: 3 **206-207** III Ki. 19: 19-21
211-217 III Ki. 20: 1-16

www.tezaurliturgic.ro

Ὁ βλέπων τὰ κρύφια
καὶ ἐμβατεύων τῶν καρδιῶν τὰς βουλὰς
ἀντ' αὐτοῦ σε τῷ κόσμῳ,
προφῆτα μέγιστε, κατεστήσατο,
τὴν αὐθεντίαν
αὐτοῦ περικείμενον
καὶ βασιλεῖς παρανόμους διελέγχοντα.

Θ. Ὑμνοῦσι σε, δέσποινα,
τῶν ἀσωμάτων ἄϋλα στόματα
καὶ πυρίμορφοι γλῶσσαι
τῶν οὐρανίων ἀρχῶν γεραίρουσι·
τὸν γὰρ δεσπότην
αὐτῶν εὐδοκήσαντα
σῶσαι τὸ γένος ἡμῶν ἄνθρωπον ἔδειξας.

Ὠδὴ ὀγδόη. Ἐπταπλασίως κάμινον

Σὺ κεραυνίοις βέλεσιν
οὐρανόθεν κατέπρησας,
ζήλου τῷ πυρὶ διακαῶς πιμπράμενος,
διττοῖς σὺν πεντήκοντα
πεντηκοντάρχους, μάκαρ, διττοὺς
ἅπαντας ὠμοῦ καὶ δυσσεβοῦς βασιλέως
ἀξίους ὑπηρέτας
καὶ τὸ θράσος ἐκείνου
καὶ πᾶσαν τὴν κακίαν
εἰς ἄκρον μιμουμένους.

Ἐπὶ τῆς γῆς στρεφόμενος
ὡς οὐκ ὢν τῆς γῆς ἄξιος,
ἐν τοῖς οὐρανοῖς εἶχες τὸ σὸν πολίτευμα·
διὸ μετὰ σώματος
πρὸς οὐρανὸν ἐκ γῆς ἀνελθών,

Heirm. η' EE 219, n. 314, Joannis

218-219 Ps. 43: 21 **232-236** IV Ki. 1: 9-14 **242-243** Cfr. He. 11: 38
244 Phi. 3: 20 **246** IV Ki. 2: 1-18

ὅλος ταῖς ἀΰλοις συνετάχθης χορείαις·
μεθ' ὧν τὸν σὸν δεσπότην,
Ἡλιοὺ θεοφόρε,
μὴ παύσῃ ἱκετεύων
ὑπὲρ τῶν σὲ τιμώντων.

F. 192v Βάρος σαρκὸς φρονήματος
ἀποθέμενος πρότερον,
μόνῃ μηλωτῇ τὸν ῥοῦν τὸν ἰορδάνειον
ἀβρόχως ἐπέρασας
σὺν Ἐλισσαίῳ τῷ θαυμαστῷ
καὶ πρὸς οὐρανὸν ἁρματηλάτης πυρφόρος
ἐνδόξως ἀνελήφθης,
ἐπαφεὶς ὥσπερ κλῆρον
τῷ μαθητῇ πατρῷον
τὴν μηλωτήν, Ἠλία.

Θ. Ὡς λαμπροτέρα, πάναγνε,
τῶν ἀΰλων δυνάμεων
τὴν καλλοποιὸν τοῦ παντουργοῦ εὐπρέπειαν
ἐν μήτρᾳ ἐχώρησας
τὸν ἐπὶ πάντων, κόρη, Θεόν·
ὃν ἀκαταπαύστως σὺν αὐτοῖς ἐκδυσώπει
τοῦ σῴζεσθαι κινδύνων
τοὺς πιστῶς προσκυνοῦντας
τὸν ἄσπορον σου τόκον,
Μαρία Θεοτόκε.

Ὠδὴ ἐνάτη. Ἑξέστη ἐπὶ τούτῳ ὁ οὐρανός

Μωσεῖ τῷ νομοθέτῃ παρισωθείς,
ὡς ἐκεῖνος Θεῷ προσωμίλησας
καὶ ἐν Θαβὼρ
τῆς μεταμορφώσεως τοῦ Χριστοῦ

Heirm. θ' EE 220, n. 314, Joannis

254-256 IV Ki. 2: 8 **257-258** IV Ki. 2: 11 **273** Ex. 24: 16
274-275 Mat. 17: 3

www.tezaurliturgic.ro

συνθεωρὸς γενόμενος,
ἔλεγες τὴν ἔξοδον μετ᾽ αὐτοῦ,
ἣν ἔμελλε πληρώσειν
ὁ πάντων εὐεργέτης,
διὰ σταυροῦ σῴζων τὸν ἄνθρωπον.

Ἀσώματον βιώσας ἐπὶ τῆς γῆς
πολιτείαν, οἰκεῖς μετὰ σώματος
τοὺς οὐρανούς,
αἴγλης ἀπολαύων θεαρχικῆς
καὶ τριλαμποῦς θεότητος
φέγγει ἀνεσπέρῳ διηνεκῶς
λαμπόμενος πλουσίως
καὶ δόξης ἀπορρήτου
ἠξιωμένος, θεοδόξαστε.

Ῥημάτων μεμνημένοι δεσποτικῶν,
ἐλευσόμενον σὲ προσδεχόμεθα
μετὰ σαρκὸς
εἰς τὸν κόσμον τοῦτον ὑπερφυῶς,
τῆς παρουσίας ἄγγελον
τῆς φρικτῆς ἐκείνου καὶ φοβερᾶς,
ἐν ᾗ ἀκατακρίτους
εὐδόκησον ὀφθῆναι
τοὺς τὴν σὴν μνήμην ἑορτάζοντας.

Κεκόσμηται ἡ μνήμη σου εὐκλεῶς
ἐν ᾠδαῖς μελιρρύτοις καὶ ἄσμασι
πλείστοις, σοφέ·
ἀλλὰ καὶ τὸν ὕμνον μου τὸν μικρὸν
προσδεδεγμένος, μέγιστε,
δός μοι ἐγκλημάτων ἀπαλλαγήν,
διόρθωσίν τε βίου
καὶ θείας βασιλείας
καὶ αἰωνίου τὴν ἀπόλαυσιν.

291 Cfr. Re. 2: 3-12

Ὁ μέγας τοῦ μεγάλου δημιουργοῦ
ὑπηρέτης πιστὸς καὶ διάκονος,
ὁ εὐκλεὴς
φίλος καὶ προφήτης καὶ μιμητὴς
τοῦ μόνου παντοκράτορος,
ὁ θεῖος Ἠλίας ὁ ζηλωτὴς
τῇ σήμερον ἡμέρᾳ
συνάγει πᾶσαν κτίσιν
ὑμνῆσαι τούτου τὴν ἀνάληψιν.

Θ. *Σὲ τύποι καὶ αἰνίγματα προφητῶν,*
Θεοτόκε παρθένε, προέγραφον
θρόνον Θεοῦ,
πόλιν καὶ παλάτιον καὶ σκηνήν,
χρυσοῦν θυμιατήριον,
τράπεζαν καὶ στάμνον καὶ κιβωτὸν
καὶ ῥάβδον καὶ λυχνίαν,
ἡμεῖς δὲ Θεοτόκον
ἀκαταπαύστως σε δοξάζομεν.

F. 112, cod. B XVII[a]. ***Ἕτερα στιχηρά. Ἦχος πλάγιος β′.***
Τί ὑμᾶς καλέσωμεν, ἅγιοι,

Ὅτε σύ, προφῆτα θεσπέσιε,
τῷ Θεῷ δι᾽ ἀρετῆς καὶ πολιτείας ἀκραιφνοῦς
συνεκράθης, πρὸς αὐτοῦ τὴν ἐξουσίαν εἰληφώς,
τὴν κτίσιν
κατὰ γνώμην μετερρύθμισας
καὶ πύλας
ὑετοῦ θέλων ἀπέκλεισας

Heirm. stich. alterorum PaR 644 Haec troparia in D omnino desunt

320 πόλιν Ps. 47: 2; Ps. 86: 3 παλάτιον III Ki. 7: 38-49 σκηνή Ex. 26: 1 sqq. **321** θυμιατήριον Ex. 38: 23-25 **322** τράπεζα Ex. 38: 9-12 στάμνος Ex. 16: 33 κιβωτός Ex. 38: 1-8 **323** ῥάβδος Nu. 17: 2-8 λυχνία Ex. 38: 13-17 **328** IV Ki. 2: 11 **6-7** III Ki. 17: 1

www.tezaurliturgic.ro

καὶ ἄνωθεν πῦρ κατήγαγες
καὶ δυσμενεῖς κατηνάλωσας·
ἱκέτευε
τοῦ σωθῆναι τὰς <ψυχὰς ἡμῶν>..

Ζήλῳ τοῦ Κυρίου πυρούμενος,
παρανόμους βασιλεῖς, μάκαρ, διήλεγξας σφοδρῶς,
τῆς αἰσχύνης ἱερεῖς τε ἐθανάτωσας σφοδρῶς,
ἀνῆψας
πῦρ ἐν ὕδατι παράδοξον,
τροφὴν δὲ
ἀγεώργητον ἐπήγασας
καὶ νάματα ἰορδάνεια
τῇ μηλωτῇ σου διέτεμες·
ἱκέτευε
τοῦ σωθῆναι <τὰς ψυχὰς ἡμῶν>.

[Ὅτε] σύ, προφῆτα, κατέδειξας
ἐπὶ γῆς ὡς ἀληθῶς τὴν ὑπὲρ ἄνθρωπον ζωὴν
καὶ τοῦ κόσμου μὲν μετέβης, ὡκειώθης δὲ Θεῷ,
τὸν παῖδα
νεκρωθέντα ἀνεζώωσας,
θανάτου
εἰσέτι κρειττων διέμεινας,
ἅρμα πυρὸς ἡνιόχευσας
αἰθέριος ἀνυψούμενος·
ἱκέτευε
τοῦ σω<θῆναι τὰς ψυχὰς ἡμῶν>.

*

* *

11, 22, 33 orat. intermittitur in B
23 Tres primae litterae quas restitui evanuerunt in B

8-9 IV Ki. 1: 9-12
13 III Ki. 18: 18
14-16 III Ki. 18: 38
17-18 III Ki. 17: 12-14
19-20 IV Ki. 2: 8
26-27 III Ki. 17: 21
30-31 IV Ki. 2: 11

XVIII. Κανὼν εἰς τὸν ἅγιον μεγαλομάρτυρα Ἰάκωβον τὸν Πέρσην, οὗ ἡ ἀκροστιχίς· Τὸν Πέρσην Ἰάκωβον ἐν ἄσμασι τοῖσδε λιγαίνω.

F. 181 **Ὠδὴ πρώτη. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου**

Τὸν ἄφθαρτον στέφανον,
ὃν ὁ δεσπότης ἡτοίμασε,
τοῖς σοῖς ἀριστεύμασι γέρας ἐπάξιον
κομισάμενος,
τοὺς πόθῳ σε ὑμνοῦντας
τοῦ λόγου τῇ χάριτι, μάρτυς, στεφάνωσον.

Ὁ μέγας ἐν μάρτυσι,
τῶν ἀθλητῶν τὸ κεφάλαιον,
ὁ περιφανέστατος καὶ γενναιότατος
τὸν ἀντίπαλον
τῇ σήμερον ἡμέρᾳ
νικήσας, συνήγαγεν ἡμᾶς Ἰάκωβος.

Νεότητος χάρισι
καὶ εὐγενείας λαμπρότητι
καὶ πλούτῳ κοσμούμενος, μάρτυς ἀοίδιμε,
τὴν εὐγένειαν
ἠγάπησας τὴν ἄνω
καὶ πλοῦτον μὴ ῥέοντα τῶν ψυχικῶν ἀρετῶν.

Περσῶν ἀθεότητι
καὶ βασιλεῦσιν, Ἰάκωβε,
κελεύουσιν ἄδικα συνδιαιτώμενος,
ὑπερέλαμπες
ὡς ῥόδον ἐν ἀκάνθαις,
τὸ εὔχρουν τῆς πίστεως ἐπιδεικνύμενος.

Θ. Ἐπλήσθη μὲν ἅπασα
ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον,

Heirm. α' EE 99, n. 141, Joannis

1 Cfr. I Pe. 5: 4 **25-26** Hb. 2: 14

www.tezaurliturgic.ro

ἐξ οὗ βασιλεῖς Περσῶν τοῦτον τικτόμενον
προσεκύνησαν
καὶ μάρτυρες δὲ Πέρσαι
τὸ μέγα μυστήριον ἔργοις ἐτράνωσαν.

Ὠδὴ τρίτη. Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε,

Ῥανίδος συνέχεια τὴν πέτραν
ἐκοίλανε πίστεως τῆς σῆς,
βασιλικὴ οἰκείωσις,
ἀλλ' ἀνεκλήθης τάχιον
τοῦ χαλεποῦ συμπτώματος,
ὥσπερ ὁ μέγας ἀπόστολος.

Σύμβολα τῆς ἔνδοθεν ὀδύνης
τὰ δάκρυα φέρων ἐμφανῶς,
F. 181ᵛ τοῖς ἀσεβοῦσιν, ἔνδοξε,
μετεγνωκὼς δεδήλωσαι
καὶ πρὸς ἀγῶνας ἔσπευσας
μεγαλοψύχῳ φρονήματι.

Ἡμέραν ἑόρτιον, ἡμέραν
χαρᾶς ἀληθῶς πνευματικῆς
ὁ ἀθλοφόρος ἤγαγεν,
ἐν ᾗ τῷ κόσμῳ θέατρον
καὶ τοῖς ἀγγέλοις ἄνωθεν
καὶ τοῖς ἀνθρώποις ἐγένετο.

Θ. Νέον γεγονὼς ἐκ σοῦ παιδίον,
παρθένε, ὁ ἄχρονος Θεὸς
τοὺς μάγους πρώτους εἵλκυσεν
εἰς τὴν αὐτοῦ προσκύνησιν
καὶ μετὰ τοῦτο μάρτυρας
αὐτοῦ προθύμους ἀνέδειξεν.

Heirm. γ′ EE 100, n. 141, Joannis

27-28 Mat. 2: 1-12 **34-36** Mat. 16: 18 **27-28** Mat. 2: 1-12
46-48 I Co. 4: 9 **51-52** Mat. 2: 1-12

Κάθισμα. Ἦχος δ′. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως

Τοὺς ὑπὲρ φύσιν διανύσας ἀγῶνας,
τῶν ὑπὲρ φύσιν δωρεῶν ἠξιώθης
ἐκ τῆς χειρός, Ἰάκωβε, τοῦ πάντων Θεοῦ
ὅθεν τοὺς τιμῶντας σου
τὴν ὑπέρλαμπρον μνήμην
πάσης ἀπολύτρωσαι
τοῦ ἐχθροῦ τυραννίδος
καὶ εἰρηναίαν αἴτησαι ζωὴν
τοῖς βασιλεῦσι καὶ πᾶσι τοῖς πέρασιν.

Ὠδὴ τετάρτη. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν

Ἵλεως, ἐπίχαρις τῷ βασιλεῖ,
μάκαρ, παραστάς, ὡμολόγησας
ἐν παρρησίᾳ
τὸ σεβάσμιον Χριστοῦ
καὶ φωτοφόρον ὄνομα,
θραύων τὴν ἐκείνου θρασύτητα.

Ἅπασαν ἐπίνοιαν κεκινηκώς,
λόγοις, ἀπειλαῖς, δελεάσμασιν
οὐκ ἔσχε κάμψαι
τὸ γενναῖον σου, σοφέ,
καὶ σταθερὸν ὁ τύραννος,
ὅθεν πρὸς βασάνους ἐτράπετο.

Κέκμηκε τὸ θέατρον ἰλιγγιῶν,
ἄνωθεν ἐθαύμαζον ἄγγελοι,
τῶν ἀνδροφόνων
δαιμονίων ἡ πληθὺς

Heirm. cath. HR 29 Cath. deest in Hannick
Heirm. δ′ EE 100, n. 141, Joannis. Heirm. in marg. cod. D scriptus invenitur

76-77 I Co. 4: 9

www.tezaurliturgic.ro

ἐξηπορεῖτο φρίττουσα,
μάρτυς, σου τὸ σῶμα τεμνόμενον.

F. 182 Ὥσπερ ἐκαρτέρησας τὴν ἀλγεινήν,
μάρτυς, καὶ ἀνύποιστον βάσανον,
οὕτω μεγάλας
ἐκ χειρὸς ζωαρχικῆς
τὰς ἀμοιβὰς δεξάμενος,
μέμνησο τῶν πίστει τιμώντων σε.

Θ. Βούλομαι, πανύμνητε μῆτερ Θεοῦ,
λόγοις ἀνυμνεῖν καὶ γεραίρειν σε
τὴν προστασίαν
τὴν ἐμὴν διὰ παντός,
ἀλλ' ἡ ἰσχὺς οὐ πάρεστι·
ταύτην οὖν αὐτή μοι χορήγησον.

Ὠδὴ πέμπτη. Ἐξέστη τὰ σύμπαντα

Ὁρῶν σου τεμνόμενα
τὰ μέλη καὶ ῥιπτούμενα,
πρόσφορον ἑκάστῳ μέλος ᾔδες,
«Κύριε», λέγων, «ταύτην τὴν ἄμπελον
ἴδε τεμνομένην διὰ σέ,
ὅπως ἀποδώσει σοι
τὸν καρπὸν ἐν καιρῷ αὐτοῦ.»

«Νῦν χαίρω», ἐκραύγαζεν
ὁ Παῦλος ἐν τοῖς μέλεσιν,
«ἀνταναπληρῶν τῶν παθημάτων
Χριστοῦ προθύμως τὰ ὑστερήματα»·
σὺ δὲ τῶν μελῶν ὑπὲρ Χριστοῦ,

Heirm. ε′ EE 100, n. 141, Joannis
96 ᾔδες Me in D: εἶδες Hannick
101 αὐτοῦ Me in D: αὐτῆς Hannick

97-98 Cfr. Jno. 15: 5; Ps. 79: 15 **99-100** Mat. 21: 41
101-104 Col. 1: 24

μάρτυς, ὑστερούμενος
ὡς στεφόμενος ἔχαιρες.

Ἐξίσταμαι βλέπειν σε
δοκῶν ἀγωνιζόμενον,
τίς ὁ ἀνακαύσας θεῖος ἔρως
τὴν ἱεράν σου καὶ παναγίαν ψυχήν,
μάρτυς ἀθλοφόρε τοῦ Χριστοῦ,
φέρειν κρεουργούμενον
τὸ δριμὺ τῆς κολάσεως

Θ. Νοεῖν σου, πανάχραντε,
τὸ ὑπὲρ νοῦν μυστήριον
νοῦς ἀδυνατεῖ γυμνὸς τῆς ὕλης,
κεκαθαρμένος νοῦς τε ὁ ἔνυλος,
εἰ δὲ καὶ ἀκάθαρτος σαφῶς,
οἷος ὁ ἐμός ἐστι,
πῶς προσβῆναι τολμήσειεν;

Ὠδὴ ἕκτη. Τὴν θείαν ταύτην καὶ πάντιμον

Ἀδάμαντός σου στερρότερος
ὁ νοῦς συνθρυπτομένου τοῦ σώματος
καὶ ἰσχυρότερος
τῶν ἀναγκῶν τῶν τῆς φύσεως
ὑπὸ τῆς θείας χάριτος ἀνεδείκνυτο.

F. 182v Σοφῶς ἐπᾴδων τοῖς μέλεσι
τὸ ζέον τῆς ὀδύνης ἐκοίμιζες, ἀλεξιφάρμακον
ἐν τηλικούτοις παθήμασι
τὴν τῶν λογίων μνήμην, μάκαρ, ποιούμενος.

Μερῶν ψυχῆς τε καὶ πνεύματος
ὁ λόγος τοῦ Θεοῦ διϊκνούμενος,

Heirm. ς′ EE 100, n. 141, Joannis **112** versus in marg. cod. D scriptus invenitur **123** ante τοῦ in Hannick σοῦ **132** πνεύματος Me in D: σώματος Hannick

www.tezaurliturgic.ro

μεριζομένων σου
τῶν μυελῶν καὶ ἁρμῶν, σοφέ,
τοῖς λογισμοῖς ἐτήρει τὸν νοῦν ἀμέριστον.

Ἄκμων ὑπέκειτο κάτωθεν,
ἡ σφύρα κατεφέρετο ἄνωθεν,
τομεὺς ἐπήγνυτο
καθ' ἕν σου μέλος, μακάριε,
καὶ ἡ στερρὰ ψυχή σου οὐ συνεστέλλετο.

Θ. *Σιὼν ἁγία περίκλυτε,*
ἡ πόλις τοῦ μεγάλου Θεοῦ ἡμῶν,
παρθένε ἄχραντε,
τὴν στενωθεῖσαν καρδίαν μου
πρὸς μετουσίαν θείαν πλάτυνον, δέομαι.

Ὠδὴ ἑβδομη. Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες

Ἰδιαίτατα τῇ μνήμῃ σου κουφίζομαι
καὶ ἔνθους γίνομαι,
κλέος μαρτύρων Χριστοῦ,
καὶ σοὶ τῆς ἀθλήσεως ὑπερφυῶς κοινωνῶν,
μετανίσταμαι
πρὸς θειοτέραν ἕνωσιν,
ἧς αὐτός μοι μεσιτεύεις.

Τὸν ἐν σώματι θνητῷ παραταξάμενον
καὶ κατισχύσαντα
πρὸς ἀσωμάτους ἐχθρούς,
δεινοὺς κοσμοκράτορας, ἐναερίους ἀρχάς,
ἀναδήσωμεν
ἐπινικίοις ᾄσμασι
καὶ στεφάνοις ἐγκωμίων.

Heirm. ζ' EE 100, n. 141, Joannis

133-135 He. 4: 12 **142-143** Ps. 86: 3 **157** Eph. 6: 12

Ὁλομέλειαν τὴν ἔνδον προνοούμενος
περιποιήσασθαι
τῇ ἱερᾷ σου ψυχῇ,
δακτύλους ἐκτέτμησαι τῶν σῶν χειρῶν καὶ ποδῶν,
καρτερόψυχε,
ὑμνολογῶν τὸν κτίσαντα
δεκαχόρδῳ ψαλτηρίῳ.

F. 183 **Θ.** *Ἱλαστήριον τοῦ κόσμου, χαῖρε, ἄχραντε,*
<- - - - ' - >,
χαῖρε, λυχνία χρυσῆ,
Ἀδὰμ ἡ ἀνάκλησις, Εὔας ἡ λύτρωσις,
ὄρος ἅγιον,
περιφανὲς ἁγίασμα
καὶ νυμφὼν ἀθανασίας.

Ὠδὴ ὀγδόη. Ἄκουε, κόρη παρθένε ἁγνή

Σέ, τὸ ἀρνίον Χριστοῦ τοῦ Θεοῦ,
σπαράττοντες οἱ ὠμησταί
θηρίων δίκην ἀγρίων ἀνηλεῶς,
μαχαίραις μελεϊστὶ κατέτεμνον,
πονηροὶ δὲ παρακλήτορες
ἑτέρωθεν κατέσειον
τὴν σὴν ψυχήν, ἀθλητά,
σὺ δὲ πᾶσι τούτοις
ἀκλινής, ἀνένδοτος
ἵστασο ὡς πέτρα
κυμάτων πρὸς ἐφόδους.

Δέον θαυμάζειν τῆς ὑπομονῆς
τὸ μέγεθος τοὺς ἀσεβεῖς,
οἰκτείρειν σῶμα τεμνόμενον ὡς φυτόν,
οἱ δὲ καὶ προσεπεμβαίνειν ᾤοντο δεῖν
καὶ πρὸς ἄρνησιν ἐφέλκεσθαι

169 versus desideratur. Hannick lacunam post v. 170 indicat
Heirm. η' EE 100, n. 141, Joannis

167 Ps. 32: 2; 91: 4; 143: 9 **170** Ex. 38: 13-17 **172** Ps. 2: 6; 98: 9
175 Je. 11: 19

www.tezaurliturgic.ro

τοῦ ζῶντος τὸν ὁπλίτην Θεοῦ,
αὐτὸς δέ, φέρων τὸ ζῶν
ἐν καρδίᾳ ὕδωρ,
τὸν φλογμὸν ἀνέψυχε
τῶν πικρῶν βασάνων
καὶ πικροτέρων λόγων.

Ἔκαμον χεῖρες δημίων πικρῶς
ἐκτέμνουσαι τὸν ἀθλητήν,
ἡ γνώμη δὲ οὐχ ὑφῆκε τοῦ ἀπηνοῦς·
δακτύλῳ γὰρ ἐκκοπέντι ὁ προσεχὴς
προσετίθετο καὶ χεὶρ καρπῷ
καὶ πῆχυς τῷ βραχίονι
καὶ ποὺς ταρσῷ καὶ μηρὸς
ἐπὶ κνήμῃ, πάντα
βίᾳ ἐξαρθρούμενα
καὶ τὰς ἀφορήτους
ὀδύνας ἐμποιοῦντα.

«Λύσατε τοῦτον», ὁ μάρτυς φησί,
«τὸν οἶκον μου τὸν παλαιὸν
ὡσάν μοι κρείττων καὶ μείζων ἐγκαινισθῇ,
τεμνέσθω ὁ φυσικὸς δεσμὸς τῶν μελῶν·
καὶ γὰρ οὕτω συναφθήσομαι
F. 183v τῇ πάντων κεφαλῇ τῷ Χριστῷ,
ἐν ᾧ καὶ χαίρων βοῶ·
εὐλογεῖτε πάντα
<τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας>».

---

213 ante v. 213 et in marg. superiore hi versus exarati sunt: Ἄγγελοι τὴν ἄθλησιν τὴν φρικτήν σου / ὁρῶντες ἐξεπλήττοντο πῶς, / ἀθλοφόρε, ἐτέμνου / τὴν τῶν μελῶν ἁρμονίαν

216 post πάντα orat. detruncatur

191 Mat. 16: 6; He. 3: 12 **192-193** Jno. 4: 10 **208-209** Cfr. Jno. 2: 19
213 Eph. 4: 15

Θ. Ἴδοιμι, μῆτερ Θεοῦ ἀγαθή,
ἐκδίκησιν τὴν παρὰ σοῦ
ἐν τάχει πάντας τοὺς ἐκζητοῦντας πικρῶς
ψυχήν μου τὴν ταπεινὴν σκεδάζουσαν
καὶ γαλήνιον κατάστασιν,
βραβεύουσαν καὶ σῴζουσαν
εἰς τὴν οὐράνιον γῆν,
ἣν πραεῖς οἰκοῦσιν,
ἔνθα τὸ πολίτευμα
πάντων τῶν ἁγίων
καὶ ἡ πατρὶς ἡ πρώτη.

Ὠδὴ ἑνάτη. Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ

Γενναιότατε μάρτυς Χριστοῦ,
καλλώπισμα τῶν θείων ἀθλοφόρων,
ὥσπερ ἐτροπώσω τοὺς βαρβάρους ἐν τῷ πάσχειν,
καὶ νῦν
τοὺς αὐτοὺς τοῖς ὁμοπίστοις σου
ἐπιτιθεμένους ἀνέδην,
θραῦσον καὶ τὸν τῆς δουλείας ἄρον ζυγὸν ἀφ' ἡμῶν.

Αἱματόεντα μέλη σεπτὰ
τοῦ σώματος τοῦ σοῦ διασπαρέντα
πάσῃ τῇ ὑφ' ἥλιον, Ἰάκωβε, δωροῦνται
ψυχῆς
τὴν ὑγείαν καὶ τοῦ σώματος
τοῖς ἐν εὐφροσύνῃ βοῶσι·
«χαῖρε, ὁ τῆς τοῦ Χριστοῦ ἐκκλησίας φωσφόρος λαμπτήρ».

Ἱερεῖον Θεῷ προσφιλές
καὶ κάρπωμα δεκτὸν ἐτύθης, μάκαρ,
ἅπαντα καθ' ἕνα ἀφηρημένος σου τὰ μέλη
στερρῶς
καὶ τοῖς δήμοις συναπτόμενος

Heirm. θ' EE 100, n. 141, Joannis

219-220 Je. 11: 20 **221-222** Ps. 141: 4 **225-226** Ps. 36: 11; Mat. 5: 5
227 Phil. 3: 20 **236** Ga. 5: 1 **245** Cfr. Lev. 1, 4

www.tezaurliturgic.ro

τῶν ἐκ τοῦ αἰῶνος ἁγίων,
ἔνθα ὁ τῆς σωτηρίας ἡμῶν ἀρχηγὸς Ἰησοῦς.

Νικητὴς τροπαιοῦχος Χριστῷ,
τῷ πρώτῳ νικητῇ καὶ ἀθλοθέτῃ,
μάρτυς, ἀθλητά, παρεστηκὼς σὺν παρρησίᾳ
πολλῇ,
τοὺς τιμῶντας τὴν χαρμόσυνον
καὶ εὐκλεεστάτην σου μνήμην
σῷζε ἐκ τῶν συμβαινόντων ἑκάστοτε δυσχερῶν.

F. 184 **Θ.**

Ὡς ἐπαίνου παντὸς λογικοῦ
καὶ ὕμνου θαυμαστῶς ὑπερκειμένη,
μόνη γυναικῶν εὐλογημένη Θεοτόκε,
τὸν νῦν
παρ' ἡμῶν σοι προσφερόμενον
ὡς ἐξ εὐτελοῦς διανοίας
ὕμνον ἀποδεξαμένη, σῷζε ἡμᾶς τῶν δεινῶν.

XVIII[a]. Στιχηρά. Ἦχος δ'.
Ὁ ἐξ ὑψίστου κληθεὶς οὐκ ἀπ' ἀνθρώπων

Ὁ ἐκ Περσίδος ἀστὴρ τὸ φῶς ἐδήλου
τοῖς μάγοις τὸ ἄχρονον, φωτὶ μιγνύμενον
τῷ χρονικῷ πρὸς ἀνόρθωσιν
τῶν καθημένων
σκιᾷ θανάτου καὶ ἀπογνώσεως·
νῦν δὲ ἐξανέτειλεν ἐκ τῆς Περσίδος ἡμῖν
ἄλλος ἀστήρ, τῷ τῆς πίστεως
αὐγάζων φέγγει
τοὺς ἐν νυκτὶ τῆς πλάνης ὁδεύοντας
καὶ τῶν θαυμάτων
τὰς γλυκείας μαρμαρυγὰς τοῖς πιστοῖς προϊέμενος,
ὁ παμμέγιστος ὄντως
καὶ πολύαθλος Ἰάκωβος.

Heirm. stich. HR 166 Eadem troparia omnino desunt in editione Hannick

250 He. 2: 10
1-2 Mat. 2: 12 **4-5** Ps. 106: 10

Ὁ τὴν ψυχὴν σιδηροῦς καὶ τὴν καρδίαν,
ὅτε ἡ παράνομος ψῆφος ἐξήνεκτο
κατατμηθῆναι τὸ σῶμα σου
πικρῷ σιδήρῳ
μέλη καὶ μέρη, φεῦ τῆς ὠμότητος,
τότε, παμμακάριστε, τὸν τοῦ Κυρίου σταυρὸν
ἐνστερνισάμενος, ἵστασο
τὰς δριμυτάτας
καὶ ἀλγεινὰς ὀδύνας δεχόμενος
καὶ τελευταῖον,
τὴν ἀοίδιμον ἀποτμηθεὶς κεφαλήν, ἀνελήλυθας
στεφηφόρος χορεύων
εἰς οὐράνια σκηνώματα.

Τοὺς ὑπὲρ φύσιν ἀγῶνας διανύσας,
λαμπρῶς ἐμπεφάνισαι τῷ βασιλεῖ τοῦ παντός,
ἔτι τῷ λύθρῳ ῥαινόμενος
τῶν σῶν αἱμάτων
καὶ τῷ ἱδρῶτι περιχεόμενος·
καὶ νῦν τὴν ἀνώλεθρον ζωὴν καρπούμενος
καὶ τὴν ἀκήρατον εὐκλειαν *F. 184[v]*
ἀγγελικαῖς τε
χοροστασίαις ἀνευφημούμενος,
τοὺς ἐκτελοῦντας
τὴν χαρμόσυνον καὶ εὐκλεῆ σου πανήγυριν, ἐνδοξε,
χαλεπῶν ἐκ κινδύνων
καὶ παισμάτων ἀπολύτρωσαι.

19-20 Cfr. Mat. 16: 24

www.tezaurliturgic.ro

XVIII^{b}. Δόξα. Ἦχος β′.

Καρτερῶν ἐν ἀθλήσει, μάρτυς Ἰάκωβε,
τὸ σῶμα σου παρέδωκας διὰ Χριστὸν τὸν Θεὸν
καὶ μελιζόμενος χεῖρας καὶ μηροὺς
καὶ βραχίονας καὶ κνήμας καὶ τοὺς δακτύλους
καὶ τελευταῖον τὴν κάραν σου,
ἀνίπτασαι ἐν οὐρανοῖς,
συμβασιλεύων τῷ βασιλεῖ τοῦ παντός·
διό, ἀθλούντων κράτιστε,
μὴ διαλίπῃς ἱκετεύων
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν
ἐκ πάσης βλάβης τοῦ ἀλλοτρίου.

XVIII^{c}. Ἀπὸ στίχου Δόξα. Ἦχος πλάγιος δ′.

Πιστῶς
ἀθροισθέντες σήμερον, φιλοθεάμονες,
ἀθρήσατε πάλην ξένην καὶ διαλλάττουσαν
Ἰακώβου τοῦ ἐκ Περσίδος ἡμῖν ἐκλάμψαντος
δίκην ἀστέρος,
τοῦ τοῖς μάγοις φανέντος
καὶ πρὸς τὴν ἀληθῆ ἐπίγνωσιν καθοδηγήσαντος·
οὗτος γὰρ ὁ γεννάδας
ἐν τῷ πίπτειν τοὺς πολεμίους ἀνέτρεπε
καὶ ἐν τῷ ἁρμομελοτομεῖσθαι
τοὺς τυράννους ἐξενεύριζε
καὶ τῇ ἄνωθεν προμηθείᾳ ῥωννύμενος, ἐβόα·
«εἰ καὶ τὰ μέλη μου αἰσθητὰ ὄντα τέμνετε,
ἀλλ᾽ ἔχω Χριστὸν
νοητῶς μοι τὰ πάντα γινόμενον»·
ὅθεν προβλέπων τὴν μέλλουσαν ζωὴν
διὰ τοῦ ἐν πᾶσι προκειμένου θανάτου
πρὸς ἐκείνην ἔσπευδε περάσαι,

Troparia idiomela manu Je scripta

16-17 Mat. 2: 1-12 **26** Cfr. I Co. 9: 22

εἰς ἣν καὶ αὐλιζόμενος
αἰτεῖται παρὰ τοῦ στεφοδότου Θεοῦ
ἱλασμόν, φωτισμὸν καὶ τὸ μέγα ἔλεος
τοῖς ἐκτελοῦσι τὴν μνήμην αὐτοῦ.

*

* *

30 Cfr. Ps. 24: 13

www.tezaurliturgic.ro

XIX. Ἀκολουθία εἰς τὰ ἅγια πάθη.

Στιχηρά. Ἦχος πλάγιος β'. Ὅλην ἀποθέμενοι

F. 122

Σήμερον τὰ τίμια
δορυφορούμενα πάθη
τοῦ σωτῆρος βλέποντες,
αὐτὸν ἐννοήσωμεν ἀπαγόμενον,
ὦ φρικτὸν θέαμα,
ὡς ἀμνὸν ἄφωνον
εἰς σφαγὴν τὸν ἀναμάρτητον,
ὀνειδιζόμενον
καὶ κολαφισμοὺς ὑφιστάμενον,
γελώμενον, πτυόμενον
καὶ ὡς βασιλέα παιζόμενον
καὶ κατακαμφθέντες,
δακρύων ὀχετοὺς ποταμηδὸν
ἀπὸ βλεφάρων προχέωμεν
εἰς ψυχῶν καθάρσιον.

Αἱ ὑπερουράνιοι
τῶν ἀσωμάτων δυνάμεις,
ὁρῶσαι κατάκριτον
τὸν δεσπότην πάσχοντα, κατεπλήττοντο·
οὐρανὸς ἄνωθεν
καὶ ἡ γῆ κάτωθεν
ἐπεσήμαινε τῷ θαύματι,
ὁ μὲν τὸν ἥλιον
δείξας παρὰ φύσιν σκοτούμενον,
ἡ δὲ φρικτῶς κυμαίνουσα

Heirm. stich. ER 281

6-7 Is. 53: 7 **8** Mat. 27: 44; Mar. 15: 33 **9** Mat. 26: 67-68; Mar. 14: 65 **10** Mat. 27: 30; Mar. 15: 20 **11** Mat. 27: 29-30, 41-42; Mar. 15: 31-32 **23-24** Mat. 27: 45; Lu. 23: 44

καὶ ἀναρρηγνῦσα τὰ μνήματα
τῶν κεκοιμημένων
ἁγίων, ὁ ναὸς δὲ πενθικῶς
ἀνακαλύπτων τὰ ἔνδοθεν
τοῦ καταπετάσματος.

Τοὺς νόμους, φιλάνθρωπε,
τῆς ἱερᾶς πολιτείας,
ἧς ἡμῖν ὑπέδειξας
ἐν σαρκὶ γενόμενος, ἐβεβαίωσας
ταῖς κλειναῖς πράξεσι,
τοῖς σεπτοῖς πάθεσιν,
ἃ ὑπήνεγκας, ἰώμενος
πάθη ὀλέθρια,
τὰ παραφυέντα τῷ πτώματι,
οἰκτίρμον, τοῦ προπάτορος
καὶ πρὸς τὸν ἀρχαῖον καὶ ἔνθεον
βίον ἐπανάγων
τοὺς πίστει προσκυνοῦντας τὴν φρικτήν
οἰκονομίαν σου, εὔσπλαγχνε,
δι' ἧς ἡμᾶς ἔσωσας.

Τὸ σῶμα τὸ ἅγιον
καὶ θεοφόρον θεώσας,
μετὰ τὴν ἀνάστασιν
τῷ πατρὶ ὁμόθρονον ἀπετέλεσας
καὶ ἡμῖν, δέσποτα,
τοῖς πιστοῖς δούλοις σου
ὑπομνήματα τῆς χάριτος
τὰ τούτου ἄμφια
καὶ τῶν παθημάτων τὰ σύμβολα
φυλάττεις ἀδιάφθορα,
οἷς ἡ εὐκλεὴς αὕτη πόλις σου

26-27 Mat. 27: 52 **28-30** Mat. 27: 51 Lu. 23: 45

www.tezaurliturgic.ro

κράτος ἀραμένη
F. 122^{v} βαρβάρων κατ᾽ ἐχθρῶν περιφανῆ
καὶ θαυμαζόμενα τρόπαια
πᾶσιν ἀνεστήσατο.

Ὅμοιον.

Τὴν πόλιν σου φύλαττε,
τοὺς βασιλεῖς, τὸν ποιμένα,
ἱερεῖς, μονάζοντας,
τὸν λαόν σου ἅπαντα, πολυέλεε,
τὰ σεπτά πάθη σου
ἱεροῖς ᾄσμασι
κατὰ χρέος μεγαλύνοντας
καὶ προπομπεύοντας
ἐπὶ τὸν ναὸν τὸν οὐράνιον,
τὸ μέγα τοῦτο θέαμα
καὶ θεοπρεπὲς ἐνδιαίτημα,
ἐν ᾧ προσιόντες
σωμάτων θεραπείαν καὶ ψυχῶν
περιφανῶς κομιζόμεθα,
σέ, Χριστέ, δοξάζοντες.

<Θεοτοκίον.>

Δέσποινα πανύμνητε,
χριστιανῶν ἡ μεσίτις,
ὁρᾷς οἷα πάσχομεν,
οἵαις συνεχόμεθα περιστάσεσιν·
οἱ ἐχθροὶ ἤχησαν,
κεφαλὴν ὕψωσαν,
οἱ μισοῦντες τὸ μυστήριον
τῆς σῆς γεννήσεως
ἐπὶ τὸν λαόν σου συνέστησαν
καὶ τοῦτον ἐταπείνωσαν.
Στῆθι, τὸν υἱόν σου δυσώπησον,
προβαλοῦ τὸ πάθος,

80-81 Ps. 82: 2 **85** Ps. 93: 5

τὸ αἷμα τὸ χυθὲν ὑπὲρ ἡμῶν,
τῇ μητρικῇ παρρησίᾳ σου
τοῦτον ἐξιλέωσαι.

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Σύμβολα δεσποτικῶν παθῶν ἐν ὕμνοις γεραίρω ᾠδὴ Μάρκου.

Ὠδὴ πρώτη. Ἦχος πλάγιος β′. Κύματι θαλάσσης

Σὲ τὸν ἐπὶ πάντων
Θεὸν καὶ δεσπότην
ἡ κτίσις ἄνθρωπον ὁρῶσα πάσχοντα
συνεκλονεῖτο, δηλοῦσα
μετακίνησιν παγκόσμιον
ἐξ ἀγνοίας ἔσεσθαι
πρὸς ἔνθεον ἐπίγνωσιν.

Ὕμνοις ἐπαξίοις
δοξάσωμεν πάντες
τὰ θεῖα σύμβολα τῆς σωτηρίας ἡμῶν,
τὸ τοῦ σταυροῦ σεπτὸν ξύλον,
τὴν πορφύραν καὶ τὸν κάλαμον
σὺν τῷ σπόγγῳ λόγχην τε
καὶ αἷμα τὸ θεόρρυτον.

Μόνον ἐν πολέμοις
ἀήττητον ὅπλον
τὸν πανσεβάσμιον σταυρὸν κατέχοντες,
τοὺς καθ᾽ ἡμῶν βρυχωμένους
F. 123 δυσμενεῖς ἀποκρουόμεθα
καὶ διασῳζόμεθα
ποικίλων περιστάσεων.

Heirm. α′ EE 164, n. 231, Cassiae

102 πορφύρα Mar. 15: 17, 20 κάλαμος Mat. 27: 29-31 Mar. 15: 19, 36
103 σπόγγος Mat. 27: 48; Mar. 15: 36; Jno. 19: 29 λόγχη Jno. 19: 34

www.tezaurliturgic.ro

Βάλλει καὶ σκοτίζει
σφοδραῖς ταῖς ἀκτίσι
τοὺς ἀντιβλέποντας ἐχθροὺς ἀλάστορας
ἡ βασιλὶς λαμπρὰ πόλις,
ὡς βασίλειον διάδημα
τὴν χλαμύδα φέρουσα,
Χριστέ, σου τὴν τῆς ὕβρεως.

Ὅπλῳ εὐδοκίας
στεφάνωσον, λόγε,
τὸν τῷ τιμίῳ σου σταυρῷ φρουρούμενον
πιστὸν ἡμῶν βασιλέα
νικηφόρον, ἀριστεύοντα,
τὰ σεπτὰ παθήματα
διαπρεπῶς τιμῶντα σου.

Θ. «Λύεται τὰ μέλη,
δονεῖται τὰ σπλάγχνα
καὶ ἡ καρδία μου πικρῶς σπαράττεται»,
ἡ Θεοτόκος ἐβόα,
τοῦ δεσπότου πάθη φέροντος·
«ὦ τῆς μεγαλόφρονος,
υἱέ, μακροθυμίας σου».

Ὠδὴ τρίτη. Σὲ τὸν ἐπὶ ὑδάτων

Αἴροντες ἐπὶ ὤμων
τὸν τίμιον σταυρὸν τοῦ ζωοδότου
καὶ πάθη τὰ φρικώδη,
συννεκρωθῶμεν θελήματι
τῷ δι' ἡμᾶς ἑκούσιον
φέροντι θάνατον,
ὅπως τούτῳ καὶ συζήσωμεν.

Heirm. γ′ EE 164, n. 231, Cassiae

117 Mat. 27: 28, 31 **119-120** Ps. 5: 12 **128** Cfr. Lu. 2: 35
139 Ro. 6: 8

Δύναμιν οὐρανόθεν
περίζωσον, οἰκτίρμον, τὸν λαόν σου,
οὐ ῥάβδῳ καλαμίνῃ
τῇ ἀδρανεῖ στηριζόμενον,
τῷ δὲ σεπτῷ καλάμῳ σου,
δι' οὗ τὴν ἄτιμον
χλεύην ἤνεγκας, μακρόθυμε.

«Ἔκχεον τὴν ῥομφαίαν,
τὴν τρώσασαν τὴν ἄχραντον πλευράν σου,
καὶ σύγκλασον ἀθρόον
ἐξ ἐναντίας, φιλάνθρωπε,
τῶν καταδιωκόντων με»,
ἡ πόλις κράζει σοι,
ἣν τῷ αἵματί σου ἔσωσας.

Σπόγγῳ τῷ ὀξυδόχῳ
τοῦ στόματος τοῦ θείου ἁψαμένῳ
κακίας ἡ ὑγρότης
ἐκ τῶν ψυχῶν ἡμῶν αἴρεται,
καρδίαι δὲ δροσίζονται,
τακεῖσαι καύσωνι
πειρασμῶν παντοδαπῶν ἐμβολῆς.

F. 123v Πάλαι μὲν ἐτιμᾶτο
τὰ σύμβολα τῆς χάριτος ἐν τύποις,
νῦν δὲ τῆς ἀληθείας
ὑπερφανείσης σεσίγηται
τὰ σκιωδῶς τελούμενα
καὶ νέαν σέβομεν
κιβωτὸν τῶν παθημάτων Χριστοῦ.

Θ. Ὅτε ἐπὶ τοῦ ξύλου
προσήλωτο ὁ κτίστης τῶν ἁπάντων,
ἡ μήτηρ καθορῶσα
τὴν κτίσιν ὅλην συμπάσχουσαν,
θαμβητικῶς ἐξίστατο,

140-141 Ps. 17: 32-39 **142** Cfr. Re. 11: 1 **144** Mat. 27: 29-31; Mar. 15: 19, 36
154 Mat. 27, 48; Mar. 15, 36; Jno. 19: 29

www.tezaurliturgic.ro

δόξαν τὴν μέλλουσαν
ἐκφανήσεσθαι προβλέπουσα.

Κάθισμα. *Ἐλπὶς τοῦ κόσμου ἀγαθή, Θεοτόκε, παρθένε,*

Ἐλπίδα μόνην τὴν εἰς σὲ φυλακτήριον ὅπλον
καὶ τὰ σεβάσμια τῆς σῆς ἀγαθότητος πάθη
κατέχοντες, ἀπὸ παντοίων πειρασμῶν
ῥυσθείημεν τῇ μεσιτείᾳ τῆς ἀγνῶς
τεκούσης σε, υἱὲ Θεοῦ,
ὁ μόνος λυτρωτὴς τοῦ γένους τῶν ἀνθρώπων.

Ὠδὴ τετάρτη. Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν

Τῇ παντουργῷ σου χειρί, Κύριε,
ὡς ὁλκὰς εὐσταλὴς ἐν μέσῳ τρικυμίας
ἡ πόλις σου ἰθύνεται, τὰς ἐπαγωγὰς
τοῦ σταυροῦ τῷ ἱστίῳ καθυπερβαίνουσα.

Ἰδίῳ αἵματι ὁ Κύριος
εἰς τὰ ἅγια νῦν εἰσέρχεται καθᾶραι
λαὸν τὸν περιούσιον ῥύπου ψυχικοῦ
ῥαντισθῶμεν καρδίας ἀγαλλιώμενοι.

Κεκαθαρμέναις χερσὶ ψαύωμεν
τῇ σεπτῇ κιβωτῷ τῶν θείων παθημάτων,
ὅπως μὴ τεθνηξόμεθα κατὰ τὸν Ὀζὰν
τολμηρῶς τοῖς ἁγίοις ἐπιτιθέμενοι.

Ὡς ἐθαμβοῦντο τότε πάσχοντος
τοῦ δεσπότου ἡμῶν αἱ νοεραὶ δυνάμεις,
οὕτως ἡμῖν συγχαίρουσιν ἄρτι τὰ σεπτὰ
συνδοξάζουσαι πάθη καὶ συμπροπέμπουσαι.

Heirm. cath. ER 479
Heirm. δ′ EE 164, n. 231, Cassiae tributus

185 He. 9: 12 **186-187** Tit. 2: 14 **188** He. 10: 22
191 II Ki. 6: 6-7 **193-194** Cfr. Mar. 10: 24, 32

Νενικηκὼς τὸν κόσμον, εὔσπλαγχνε,
τοὺς σοὺς δούλους θαρρεῖν ἐν κόσμῳ θλιβομένους.
F. 124 ἐκέλευσας, ἀλλ' ἄνεσιν δὸς ἤδη τινὰ
τῷ λαῷ σου χρονίοις κακοῖς ἐκλείποντι.

Θ. Παρισταμένη τοῖς σοῖς πάθεσιν
ἡ τεκοῦσα, Χριστέ, σὺν μαθητῇ τῷ φίλῳ
ἐβόα τούτῳ, λέγουσα· «τοῦτο, ὃ πιεῖν
σὺν ὑμῖν ὁ δεσπότης ἔφη ποτήριον.»

Ὠδὴ πέμπτη. Θεοφανείας σου, Χριστέ,

Ἀνετυποῦτο ἐξαρχῆς
ἡ αἰσθητὴ πᾶσα κτίσις καὶ νόμος
ὁ γραπτός, τὰ σύμβολα τῆς χάριτος,
ἃ ἡμεῖς ἐν πίστει σεβόμενοι,
τὰ μὲν σώματα προσφυῶς ἁγιαζόμεθα,
τὰς ψυχὰς δὲ ἅμα
πρὸς πλήρωσιν ἐντολῶν θείων ῥυθμίζομεν.

Θανάτου σύμβολον ποτὲ
ὁ Ἰακὼβ ἡμαγμένον χιτῶνα
τοῦ υἱοῦ κατεῖχε, λύπης φάρμακον,
ἡ δὲ πόλις αὕτη τὸν θάνατον
καταγγέλλουσα καὶ ζωὴν τὴν σὴν γινώσκουσα,
τὸν χιτῶνα φέρει
τοῦ σοῦ, Χριστέ, ἐμπαιγμοῦ, φθορᾶς ὑπέρτερον.

Ἐπὶ φρικώδους ὡς Θεὸς
ἐν οὐρανοῖς ὑψιβάμονος θρόνου
συνεδρεύων τῷ πατρί, ὡς ἄνθρωπος,
ἐν τῇ γῇ παρέστης κρινόμενος
ἐπὶ βήματος, Ἰησοῦ, ἀνθρώπου κρίνοντος,

Heirm. ε′ EE 164, n. 231, Cassiae

197-198 Jno. 16: 33 **199-200** I Th. 1: 7 **203-204** Mat. 20: 22
212-214 Ge. 37: 31-33 **217-218** Mar. 14: 63; Jno. 19: 23

www.tezaurliturgic.ro

τυραννίδος φεύγων,
καὶ κάλαμον παικτικῶς ὡς σκῆπτρον ἤνεγκας.

Ὡς ἐν ἐρήμῳ ὁ λαὸς
ὁ ἀπειθὴς τὸν τροφέα ἠρνεῖτο,
βρῶσιν ἔτι φέρων ἐν τῷ στόματι,
οὕτω νῦν ἀρνεῖται τὸν δίκαιον
κατὰ πρόσωπον τοῦ Πιλάτου ἀπολύοντος
καὶ ἀντὶ τοῦ μάννα
χολῆς καὶ ὄξους μεστὸν σπόγγον ἀμείβεται.

Νεοποιεῖς τὴν παλαιὰν
Σιών, Χριστέ, ἐν τῇ Ῥώμῃ τῇ νέᾳ
ὡς Ἐδὲμ αὐτὴν ἀπεργασάμενος,
φρουρουμένην τοῖς σοῖς παθήμασι
καὶ τὴν λόγχην τῆς σῆς πλευρᾶς, ῥομφαίαν δίστομον,
φλογεράν, φρικώδη
προβάλλουσα κατ᾽ ἐχθρῶν τῶν πολεμούντων αὐτήν.

F. 124^{v} Θ. Ἐπὶ τῷ τόκῳ σου, υἱέ,
τὴν φυσικῶς ἐπομένην ὀδύνην,
ἔνθα ἡδονὴ σαρκὸς ἡγήσατο,
ὡς ἀγνῶς τεκοῦσα ἠγνόησα,
νῦν δὲ βέλος λύπης πικρᾶς τομῶς διέρχεται
τὴν ἐμὴν καρδίαν,
τῆς κρείττονος ἡδονῆς πάντως ἡγούμενον.

Ὠδὴ ἕκτη. Συνεσχέθη

Νῦν ἐπέστη
ἡ ὄντως μεγάλη
καὶ σεβασμία ἑβδομάς,

Heirm. ϛ′ EE 164, n. 231, Cosmae

225 Mat. 27: 29-31; Mar. 15: 19, 36 **226-227** Ex. 17: 1-3 **228** Ps. 77: 30
229-230 Mat. 27: 17, 19-21; Mar. 15: 9; Lu. 20-22; Jno. 19: 12
232 Jno. 19: 29-30; 23: 20-21 **237** λόγχη Jno. 19: 34 ῥομφαία Re. 1:16; 2: 12
244-245 Cfr. Lu. 2: 35

ἐν ᾗ τὰ θεῖα πάθη
τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος
ἡ μεγαλόπολις τιμᾷ προπέμπουσα
πρὸς τὸν μέγιστον ναῶν ἁπάντων·
πόθῳ συνδράμωμεν ἅπαντες οἱ πιστοί,
τὸν ἁγιασμὸν ἀπαρρυσόμενοι.

Ὑμνολόγοις,
ἀλλ᾽ οὐ μυθολόγοις
ἡ ἐκκλησία τοῦ Θεοῦ
τοῖς ποιηταῖς κοσμεῖται·
οὐ Τυφῶνος συμφορὰς ληροῦσιν,
οὐδὲ Ὀσίριδος δεινὰ σπαράγματα,
τὰ δὲ τίμια μέλπουσι πάθη,
δι᾽ ὧν ὁ κόσμος ἐκ πλάνης ἐπιστραφεὶς
τὴν θεογνωσίαν κατεπλούτησεν.

Μετὰ φόβου
καὶ αἰδοῦς ἁπάσης
καὶ εὐλαβείας τὰ φρικτὰ
τῶν θείων παθημάτων
θεῖα σύμβολα προσκυνητέον,
ἅπερ ἡ κτίσις ἐμφανῶς ἡ ἄψυχος
ἐπαθαίνετο κατανοοῦσα,
ἡ γῆ ἐσείετο, ἥλιος καὶ ἀὴρ
σκότος ἀμειδὲς περιεβάλοντο.

Νέα Ῥώμη,
πόλις τοῦ ὑψίστου,
Σιὼν ἁγία ἐκλεκτή,
ἀνάβαινε ὡς νύμφη
πρὸς τὸν διὰ σὲ συγκαταβάντα
μέχρι θανάτου τοῦ πρὸς σὲ γὰρ ἔρωτος
τὰ ἐνέχυρα ἔχεις ἐν κόλποις.

255 ἀπαρρυσόμενοι (sic) Me in D

263 Ja. 5: 20 **272-273** Mat. 27: 45, 51, 52
275-276 Ps. 86: 3 **277** νύμφη Cfr. Ca. 4: 8, 10-2; 5: 1

www.tezaurliturgic.ro

αἷμα τὸ τίμιον, λόγχην καὶ τὸν σταυρόν,
σπόγγον καὶ πορφύραν καὶ τὸν κάλαμον.

Ὁπηνίκα
Ἰσαὰκ ἐτύπου
πάθος τὸ τίμιον Χριστοῦ,
φορτίζεται τὰ ξύλα
τεθνηξόμενος, εἰ καὶ ἐσώθη·
νῦν δὲ τὰ ξύλα τοῦ σταυροῦ τὰ τίμια
καὶ τὸ αἷμα τὸ φρικτὸν ἐπ' ὤμων
ἀναλαμβάνωμεν, θνήσκοντες τῇ σαρκὶ
καὶ ζωοποιούμενοι τῷ πνεύματι.

F. 125 Θ. Ἱερός τις
λόγος, ἀπορρήτοις
Θεοῦ σοφίας θησαυροῖς
ἐναποκεκρυμμένος,
τὴν κακίστην ἡδονήν, ὦ μῆτερ,
δι' ἀντιρρόπου τῆς ὀδύνης παύσεσθαι·
τὴν οὖν ἔκτισιν ὑπὲρ τοῦ γένους
ὑφισταμένῳ συγκάμνουσα τῷ υἱῷ,
πρώτη κοινωνήσεις καὶ τῆς χάριτος.

Κοντάκιον. *Τὰ ἄνω ζητῶν*

Παρθένε ἁγνή,
Θεοῦ δόξης σκήνωμα,
τὴν πόλιν τὴν σήν,
τὴν ἄχραντον εἰκόνα σου
καὶ τὰ πάθη σέβουσαν
τοῦ υἱοῦ σου, παντὸς ἐξάρπασον
κινδύνου, πάθους, συμφορᾶς,
ἡ μόνη ταχέως προστατεύουσα.

Heirm. Cont. MR I 17

281-282 λόγχη, αἷμα Jno. 19: 34 σπόγγος Mat. 27: 48 Mar. 15: 36 Jno. 19: 29 πορφύρα Mar. 15: 17, 20 κάλαμος Mat. 27: 29-31 Mar. 15:19, 36
283-287 Ge. 22: 6 **290-291** I Co. 15: 22 **292-293** locum non inveni
302 Ps. 25: 8

Ὠδὴ ἑβδόμη. *Ἄφραστον θαῦμα*

Στήτω ἡ ῥύσις
τῆς ἐμπαθοῦς διαθέσεως
τῶν σωμάτων, λόγε, καὶ ψυχῶν,
τῶν πίστει τὴν σὴν
ἐγνωκότων δύναμιν
καὶ ἁπτομένων τοῦ θείου σου κρασπέδου
τοῦ χιτῶνος τῆς χλεύης, ἐλεῆμον.

Ἴαμα πᾶσιν
ἡ παρὰ σοῦ δρόσος, Κύριε,
γενηθήτω, καύσωνι πικρῷ
καὶ δίψει σφοδρῷ
συμφορῶν παλαίουσι
καὶ ἀπογνώσει δεινῇ συνεχομένοις,
τὸν σωτήριον σπόγγον σου τιμῶσιν.

Γέρας ἀνθρώποις
ἐκ τοῦ ἀτίμου θανάτου σου
ἀφθαρσία, σῶτερ, καὶ ζωὴ
ἡ διηνεκὴς καὶ τούτου μαρτύριον
τὰ ἁγιώτατα σύμβολα τοῦ πάθους,
ἀδιάφθορα μένοντα εἰσέτι.

Ἐν τῷ φανῆναι
ἐν οὐρανῷ τὸ σημεῖον σου,
ἐξαστράπτον αἴγλῃ φαεινῇ
πρὸς τὴν ἀπαντὴν
τῆς σῆς ἐπελεύσεως,
συνεπαρθῆναι τοὺς δούλους σου, οἰκτίρμον,
καταξίωσον ἔργοις λαμπρυνθέντας.

Ῥάβδος ἰσχύος
σεσαθρωμένη τῇ ποίμνῃ σου

Heirm. ζ' EE 164, n. 231, Cosmae

314-315 Mat. 9: 21; 14: 36; Mar. 6: 56; Lu. 8: 44 **325** II Ti. 1: 10
329-330 Mat. 24: 30 **332-333** I Th. 4: 17 **336** Ez. 19: 12

www.tezaurliturgic.ro

καὶ ῥυείσῃ γήρᾳ χαλεπῷ
γένοιτο, Χριστέ,
ὁ σεπτός σου κάλαμος,
ἐν ᾧ τὴν κάραν τυφθεὶς ἐπιτιμήσεις
F. 125v τοῖς ἀγρίοις θηρίοις τοῦ καλάμου.

Θ. Ἀναλαβοῦσα
φωνὴν ἡ κτίσις ἡ ἄψυχος
συναδέτω μέλος γοερὸν
μητρὶ ἐφ' υἱῷ,
θρηνῳδούσῃ πάσχοντι
τῷ εὐεργέτῃ τοῦ γένους καὶ δεσπότῃ
καὶ λαοῦ τοῦ ἀγνώμονος σωτῆρι.

Ὠδὴ ὀγδόη. Ἔκστηθι φρίττων, οὐρανέ,

Ἴδιον ἔχομεν οὐδὲν
τῷ παντοκράτορι σοί, Χριστέ, προσενεγκεῖν
οἱ δοῦλοι
οἱ οἰκτροὶ καὶ πένητες, τὰ ὑπομνήματα δὲ
τῆς σῆς ἀπορρήτου συμπαθείας
προτείνοντες, πταισμάτων
δυσωποῦμεν ῥυσθῆναι
καὶ τῆς βασιλείας τῆς σῆς ἀξιωθῆναι.

Ῥύσιον φύτλης ἐμπαθοῦς,
ἧς κεκοινώνηκας, αἷμα χέεις ἐν σταυρῷ
τὸ πάσης
ἁμαρτίας ἄγευστον, προσενεχθὲν τῷ πατρί,
καὶ κλῆρος ἡμῖν διαιωνίζων
εἰς πίστιν τῆς μελλούσης
βασιλείας καὶ δόξης
τῆς ἀκαταλύτου, σωτήρ, πεφυλαγμένον.

Heirm. η' EE 164, n. 231, Cosmae

341 Mat. 27: 31; Mar. 15: 19 **341-342** Ps. 67: 30 **359** Jno. 19: 35

Ὦ βάθος πλούτου, ὦ πολλῆς
σοφίας γνώσεως καὶ ἀγάπης τοῦ Θεοῦ,
τὸ πάθος
ἀπαθείας αἴτιον· ἐξ ἀσθενείας σαρκὸς
ἡ δύναμις ἡ θεία τρανοῦται
καὶ θάνατος μνηστεύει
τοῖς πιστῶς δεχομένοις
τὴν ἀθανασίαν εἰς πάντας τοὺς <αἰῶνας>.

Ὦ βασιλεῦ τῶν οὐρανῶν,
τοὺς τὴν ἐπίγειον διϊθύνοντας ἀρχὴν
ἐν πίστει
ὀρθοδόξῳ φύλαττε, τῇ μὲν παρούσῃ ζωῇ
κατάλληλον βραβεύων εἰρήνην,
τῆς σῆς δὲ βασιλείας
κοινωνοὺς καὶ τῆς δόξης
ἐπὶ τοῦ αἰῶνος τοῦ μέλλοντος δεικνύων.

Δέχου τὸν ὕμνον ἐκ ψυχῆς
ποθούσης, δέσποτα, τῇ τιμίᾳ κιβωτῷ
τῶν θείων
παθῶν προσφερόμενον, ἀντιδιδούς μοι ζωὴν
τὴν ἄλυπον ἐκεῖθεν καὶ κλῆρον
F. 126 ἐν χώρᾳ τῇ τῶν ζώντων
καὶ σκηναῖς τῶν δικαίων
ἐν ἑορταζόντων συμφώνοις μελῳδίαις.

Θ. Ἤδη ἡ πόλις σου, σεμνή
παρθένε δέσποινα, ἐκλιποῦσα τοῖς μακροῖς
κινδύνοις,
οὐ δυνάμει πέποιθε τῇ ἑαυτῆς, οὐ στρατῷ,
οὐχ ὅπλοις, οὐ ναυσίν, οὐ συμμάχοις,
πρὸς σὲ δὲ μόνην βλέπει
καὶ τὴν σὴν προστασίαν·
σῷζε ταύτην, σῷζε, εἰς πάντας τοὺς αἰῶνας.

366-367 Ro. 11: 33 **369** II Co. 12: 9 **378** Col. 3: 15
380 I Pe. 5: 1 **387** Ps. 114: 9 **388-389** Cfr. Ps. 41: 5; 117: 15

www.tezaurliturgic.ro

Ὠδὴ ἐνάτη. Μὴ ἐποδύρου με, μῆτερ,

Ὁ δεσπότης Μὴ ἀντιβόλει με, μῆτερ,
ὑπὲρ ὧν ἑκουσίως
ἐγὼ παθεῖν ἐξέδωκα ψυχὴν τὴν ἐμαυτοῦ
τὴν γὰρ χάριν ταύτην κακῶς φρονήσαντες
ἀθετοῦσι, τοὺς νόμους πατοῦντες τοὺς ἐμούς·
τῆς δικαίας οὖν κρίσεως πειραθήσονται.

Ἡ μήτηρ Ἀλλὰ τῆς σῆς εὐσεβείας
καὶ τῶν θείων ἐλπίδων
οὐδὲν αὐτοὺς ἐξέωσεν, υἱέ μου καὶ Θεέ·
τοὺς ἐχθροὺς γὰρ ὁρῶντες ἐξυβρίσαντας
καὶ δεινῶς βλασφημοῦντας, αὐτοὶ τῷ σῷ σταυρῷ
καὶ τοῖς θείοις σου πάθεσιν ἐναβρύνονται.

Ὁ δεσπότης Ῥήμασι μόνοις τὴν πίστιν
καταγγέλλουσι, μῆτερ,
τοῖς ἔργοις δὲ ἀρνοῦνται, ὃ πιστεύουσι, σαφῶς·
ἀδικία γὰρ τούτοις τὸ μελέτημα
καὶ ἀσέλγεια πᾶσα καὶ μέθη καὶ ὀργὴ
καὶ οὐκέτι ἀνήσω τὰς ἀνομίας αὐτῶν.

Ἡ μήτηρ Κατὰ τὸν μέγαν σου πλοῦτον
τοῦ ἐλέους, οἰκτίρμον,
κρῖνον αὐτοῖς δεχόμενος ἐκ σπλάγχνων μητρικῶν
ἱκεσίαν ταύτην, τὸ θεῖον αἷμα σου
καὶ τὰ τίμια πάθη προβάλλουσι πιστῶς
καὶ θαρροῦσιν ἐντεῦθεν συγγνώμης τεύξεσθαι.

Ὁ δεσπότης Οὐδὲν μητρὸς δεομένης
βιαιότερον ὄντως·
τὴν γοῦν ἐπὶ τοῖς φθάσασι συγγνώμην διὰ σὲ
F. 126^{v} χαριζόμενος τούτοις, ἂν προσέλθωσι

Heirm. θ′ EE 165, n. 231, Cosmae

402 He. 10: 28 **408** Mat. 27: 39, Mar. 15: 29, Lu. 23: 39
410 Cfr Ja. 2: 20

πρὸς ἐμὲ κοπιῶντες ὡς εἶπον ἀψευδῶς,
ἀναπαύσω, δοξάσω καὶ μεγαλύνω αὐτούς.

Θ. Ὕμνον ἐπάξιον πάντες
τῇ μητρὶ τοῦ Κυρίου
ᾄσωμεν· αὕτη γὰρ ἡμῖν μεσίτις, τὸν υἱὸν
πλημμελοῦσιν ἄμετρα διαλλάττουσα
καὶ τὰς κρείττους ἐλπίδας προτείνουσα λαμπρῶς,
ἡ τοῦ κόσμου κυρία, πιστῶν τὸ καύχημα.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ

Τὰ τίμια πάθη τοῦ λυτρωτοῦ
τῆς Ἀδαμιαίας αἰχμαλώτου διασπορᾶς
οἱ λελυτρωμένοι καρδίαις εὐαγέσι
καὶ χείλεσιν ἀχράντοις περιπτυξώμεθα.

Τὸν σταυρόν, τὴν λόγχην καὶ τὸ φρικτὸν
αἷμα τοῦ δεσπότου προσκυνήσωμεν εὐσεβῶς,
τὸν ἁγιασθέντα χερσὶν ἁγίαις ἄρτον,
τὸν σπόγγον, τὸ ἱμάτιον καὶ τὸν κάλαμον.

Αἱ τῆς θεοφόρου Χριστοῦ σαρκὸς
τρίχες ἐκρυεῖσαι, φυλαττόμεναι παρ᾽ ἡμῖν,
φυλάττουσι μᾶλλον τοὺς πίστει προσκυνοῦντας
καὶ σῴζουσι κινδύνων καὶ περιστάσεων.

Τὸν ἐξ οὐρανοῦ τε καὶ ζωτικὸν
ἄρτον τοῖς ἀνόμοις ὁ ἀχάριστος μαθητὴς
προδούς, ἀργυρίου μικροῦ τιμὴν λαμβάνει
καὶ θάνατον ἀγχόνης τὸν ἀπευκτότατον.

Heirm. alter θ′EE 163, n. 230, Cosmae

426-427 Mat. 11: 28 **438-441** λόγχη, αἷμα Jno. 19: 34 ἄρτος Mat. 26: 26; Mar. 14: 22; Lu. 22: 19 σπόγγος Mat. 27: 48; Mar. 15: 36; Jno. 19: 29 ἱμάτιον Mat. 27: 31, 35; Mar. 15: 20, 24; Lu. 23: 34; Jno. 19: 23 κάλαμος Mat. 27: 29-31; Mar. 15: 19, 36 **446-447** Jno. 6: 33, 35, 48, 51, 58 **448** Mat. 26: 15; Mar. 14: 11; Lu. 22: 5 **449** Mat. 27: 5

www.tezaurliturgic.ro

Τῷ θαυματουργήσαντι ἐκ πηλοῦ
πτύσματι φυρέντος τὴν ἀνάβλεψιν τοῦ τυφλοῦ
οἱ πεπυρωμένοι τὸν νοῦν ἐν ἁμαρτίαις
ἐμπτύουσι, γελῶντες οἱ θρήνων ἄξιοι.

Τῆς πικρᾶς δουλείας τῶν ἀσεβῶν
τοὺς δεδουλωμένους ἐλευθέρωσον, λυτρωτά,
ὁ τὴν ἐπὶ κόρρης πληγὴν παρὰ τῶν δούλων
δεξάμενος ὡς δοῦλος εἰς πάντων λύτρωσιν.

Οἱ ἀπεκτονότες τοὺς ἑαυτῶν
F. 127 προφήτας ἐμπαίζειν ὡς προφήτῃ τῷ ποιητῇ
δοκοῦσι, πληροῦντες τὸ μέτρον τῶν πατέρων,
Θεοῦ τολμῶντες φόνον, ὃν μεγαλύνομεν.

Τυραννίδος δόξαν ὁ βασιλεὺς
τῶν ὑπερκοσμίων καὶ τοῦ κόσμου δημιουργὸς
ὑπήνεγκε, θέλων ἐχθροῦ τῆς τυραννίδος
ἡμᾶς ἐλευθερῶσαι, ὃν μεγαλύνομεν.

Ὢ τῆς μιαιφόνου τῶν ἀσεβῶν
τόλμης καὶ μανίας· οὐκ ἠρκέσθησαν τῷ σταυρῷ,
εἰ μὴ καὶ ποικίλαις κακώσεων ἰδέαις
ἐμπαίξουσι τῷ κτίστῃ οἱ ματαιόφρονες.

Τὴν τοῦ φραγγελίου οἱ ἀναιδεῖς
παρρησίαν, ὅτε ἐξεβλήθησαν τοῦ ναοῦ,
ἀμύνονται, μάτην τὸν κτίστην φραγελοῦντες,
συντρίβοντες δὲ μᾶλλον τὰς ἑαυτῶν κεφαλάς.

Ἡ ἀκανθηφόρος συναγωγή,
οὐ στοργήν, οἰκτίρμον, σοὶ φυλάξασα μητρικήν,
ἀκάνθινον στέφος ἀνέπλεξεν, ἀκάνθης
τὸ πάλαι ἐπιτίμιον διαλύοντι.

450-451 Jno. 9: 6-7 **453** Mat. 26: 67, 27: 30; Mar. 14: 65, 15: 19
458-459 Mat. 23: 31 **459** Mat. 27: 41-42; Mar. 15: 31-32; Lu. 23: 35-36
460 Mat. 23: 32 **464-465** Cfr. Ro. 6: 18-22 **470-471** Jno. 2: 15
472 Mat. 27: 26; Mar. 15: 15

Ὁ ἐν ταῖς νεφέλαις τὸν οὐρανὸν
καὶ τὴν γῆν ὁμίχλῃ περιβάλλων πρὸ τοῦ σταυροῦ
ὑπὸ ἀγνωμόνων χειρῶν ὕβρεως χλαῖναν
ἐνδύεται παιζόμενος ὁ μακρόθυμος.

Σκῆπτρον καὶ πορφύραν πεφορηκὼς
παρὰ τῶν παιζόντων τὴν ἀλήθειαν, βασιλεῦ,
προσκύνησιν δῆθεν ὡς βασιλεὺς ἐδέχου
ὁ ἄνω ὑπ' ἀγγέλων δορυφορούμενος.

Σὺ ἐπιτιμήσαις τοῖς πονηροῖς
θηρσὶ τοῦ καλάμου ὁ τὴν κάραν, σῶτερ, τυφθείς,
διὰ τοῦ καλάμου δεινῶς κατερραγμένην
τὴν ποίμνην σου στηρίζων ὡς παντοδύναμος.

Ὁ τὴν ἁμαρτίαν αἴρων ἀμνὸς
σχήματι κακούργου τὸν οἰκεῖον αἴρει σταυρόν·
ἐπώμεθα πάντες τῷ ἀγαθῷ δεσπότῃ,
F. 127v μὴ θρήνοις, ἀλλ' εὐφήμοις ᾠδαῖς γεραίροντες.

Ὁ ἐξ ἀκροτόμου πέτρας λαῷ
βλύσας ἀπειθοῦντι ὑπὲρ μέλι ὕδωρ γλυκύ,
ὄξος μεμιγμένον χολῇ διὰ τοῦ σπόγγου
ποτίζεται, τελῶν τὰ προφητευόμενα.

Λησταῦ τοῦ εὐγνώμονος τὴν φωνὴν
πρόσδεξαι βοῶντας τοὺς σοὺς δούλους ὡς ἀγαθὸς
καὶ τῆς βασιλείας σοῦ κληρονόμους δεῖξον,
ἐν χώρῳ παραδείσου διαιωνίζοντος.

Τῷ ἠγαπημένῳ σοι μαθητῇ
καὶ τῆς παρθενίας ἀκροτάτῳ μυσταγωγῷ,
τὴν ἠγαπημένην μητέρα καὶ παρθένον
παρέθου ἐπὶ ξύλου, Χριστέ, κρεμάμενος.

482 Mar. 15: 17, 20 **484** Mat. 27: 29; Mar. 15: 17-18; Lu. 23: 37; Jno. 19: 2-3 **486-487** Ps. 67: 30 **487** τυφθείς Mat. 27: 31; Mar. 15: 19 **490** Jno. 1: 36 **491** Jno. 19: 17 **494-495** De. 8: 15 **495** Ps. 18, V **496-497** Mat. 27: 34, 48; Mar. 15: 36 Jno. 19: 29 **498-500** Lu. 23: 40-43 **502-505** Jno. 19: 26-27

www.tezaurliturgic.ro

Ὁ τὸν ἐπονείδιστον ἐν σταυρῷ
θάνατον, οἰκτίρμον, προσδεξάμενος σαρκικῶς,
θανάτωσον ζῶσαν ἐμοὶ τὴν ἁμαρτίαν
καὶ ζῆν με κατὰ νόμους τοὺς σοὺς εὐδόκησον.

Λόγχῃ ἐκεντήθης σου τὴν πλευράν,
αἷμα τε καὶ ὕδωρ ὡς ἐκ κρήνης ποταμηδὸν
ἀνέβλυσας, λόγε, καθάρσιον τοῦ κόσμου,
ἀλλ᾽ ὄψονται οἱ ἄφρονες, ὃν ἐκέντησαν.

Ἐπαίχθης, ἐτύφθης ὁ συμπαθής,
ἤρθης ἐπὶ ξύλου, προσηλώθης, θαῦμα φρικτόν,
λόγχῃ ἐκεντήθης τὴν ἄχραντον πλευράν σου
καὶ πάντα ὑπομείνας ἅπαντας ἔσωσας.

Ἀποκαθηλούμενον τὸν υἱὸν
ἡ παρθένος μήτηρ περισχοῦσα, ὀλολυγαῖς
καὶ θρήνων ἀμέτροις βοαῖς ἀνεκαλεῖτο·
«μὴ λίπῃς τὴν τεκοῦσαν μόνην, μακρόθυμε.»

Ὡς αἱ μυροφόροι τῷ δι᾽ ἡμᾶς
νεκρωθέντι μύρα προσκομίσωμεν εὐλαβῶς,
τὰ πάθη τιμῶντες, ὥσπερ αὐτὸ τὸ σῶμα
τὸ θεῖον τὸ πηγάσαν ἡμῖν ἀπάθειαν.

F. 128 Τοὺς τὰ θεῖα πάθη σου ὁ Θεὸς
καὶ τὴν ζωηφόρον ἑορτάζοντάς σου ταφὴν
ἀξίωσον πάντας ἰδεῖν τὴν λαμπροφόρον
ἡμέραν τῆς ἐνδόξου σου ἀναστάσεως.

Τὴν πόλιν σου φύλαττε, Ἰησοῦ,
τὴν τετιμημένην τοῖς παθήμασι τοῖς σεπτοῖς,
οἷς ὑπὲρ τοῦ κόσμου ὑπέμεινας, ἐκ πλάνης
τὸ γένος τῶν ἀνθρώπων ἀπολυτρούμενος.

508 Ro. 7: 9-10 **510-512, 516** Jno. 19: 34 **513** Jno. 19: 37 **514** παίζεσθαι Mat, 27: 41-42; Mar. 15: 31-32; Lu. 23: 35-36 τύπτεσθαι Mat. 27: 31; Mar. 15: 19 **518** Mar. 15: 46; Lu. 23: 53 **522-523** Mar. 16: 1; Lu. 23: 56; 24: 1

<Τριαδικόν> Ἡ μεγαλουργὸς ἁγία τριάς,
ὁ πατήρ, ὁ λόγος καὶ τὸ πνεῦμα τὸ ἀγαθόν,
τοὺς πίστει τιμῶντας τὴν σὴν μεγαλωσύνην
κακώσεως παντοίας καὶ βλάβης λύτρωσαι.

Θ. Ἡ ἀρραγεστάτη χριστιανῶν
ἐλπὶς καὶ προστάτις καὶ ὑπέρμαχος ἐν δεινοῖς,
τὴν πόλιν σου ταύτην τὴν σοὶ ἀνακειμένην
κινδύνων ἀνωτέραν παντοίων φύλαττε.

Στιχηρά. Ἦχος πλάγιος β'. *Ἡ ἀπεγνωσμένη διὰ τὸν βίον*

Ἡ ἀπεγνωσμένη βουλαῖς ἀνθρώπων
καὶ ἐπεγνωσμένη εἰς σωτηρίαν
Θεῷ παντοκράτορι μεγάλη πόλις αὕτη,
πόνους μυρίους ἀνατλᾶσα καὶ χαλεποὺς κινδύνους,
σέσωσται πάντων ἐλευθέρᾳ τῇ θείᾳ προμηθείᾳ·
διὸ πάθεσι τοῖς ζωηφόροις
ἀνατιθεῖσα τὸ παράδοξον ἄσμασι
θείοις τὴν χάριν ἀμείβεται.

Οἱ συννεκρωθέντες διὰ νηστείας
τῷ ὑπὲρ ἀνθρώπων ἀποθανόντι,
φαιδρύνεσθε σήμερον τῆς δόξης κοινωνοῦντες,
πᾶσα γὰρ κτίσις αἰσθητὴ τε καὶ νοουμένη χαίρει,
πάθη τὰ θεῖα τοῦ δεσπότου λαμπρῶς δορυφοροῦσα,
ὅπως χάριτι συναναστάντες
καὶ ἐπαρθέντες εἰς οὐράνιον οἴκησιν
εἰς τοὺς αἰῶνας ἀγάλλησθε.

Οἱ ἀπεγνωσμένοι ταῖς ἁμαρτίαις,
F. 128v οἱ βοσκηματώδεις καὶ νενευκότες

Heirm. stich. TR 644

www.tezaurliturgic.ro

πρὸς γῆν καὶ τὰ γήϊνα μὴ πρόφασιν κακίας
ταύτας ποιεῖσθε τὰς ἁγίας καὶ ἱερὰς ἡμέρας,
πάσας ἀνέδην τὰς αἰσθήσεις πρὸς ἡδονὰς κινοῦντες,
ἀλλὰ φρίττοντες τῶν μυστηρίων
τὸ μεγαλεῖον ἐπιστρέψωμεν δείλαιοι
καὶ τὸν σωτῆρα ἱλεωσώμεθα.

Τὰ *διῃρημένα τῆς ἐκκλησίας*
καὶ νενεκρωμένα σαφῶς ἐντεῦθεν
μέλη τὰ τίμια πρὸς μίαν ἁρμονίαν
σύναψον αὖθις, τὸν χιτῶνα τὸν ὑφαντὸν διόλου,
σῶτερ, τιμῶντας, ὃν ἀτμήτως οἱ φονευταὶ διεῖλον,
καὶ τὸ αἷμα σου τὸ ζωηφόρον,
δι' οὗ πρὸς μίαν συμφωνίαν τὰ πέρατα
κατὰ τὴν πίστιν ἡνώθησαν.

*

* *

562-563 verba ab ἀνέδην usque ad φρίττοντες in marg. superiore cod. D scripta inveniuntur

566-568 Cfr. Ez. 37: 7 569 Jno. 19: 23-24

XX. *Ἀκολουθία εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν γλυκύτατον καὶ ὡραιότατον, ἡ λεγομένη νήψεως καὶ νίψεως, νοὸς δηλαδὴ καὶ ἁμαρτημάτων, φέρουσα συνεχῶς τὸ φρικτὸν μὲν τοῖς δαίμοσιν ὄνομα τοῦ Ἰησοῦ, ἡμῖν δὲ γλυκύτατον.*

F. 142

Στιχηρά.
Ἦχος πλάγιος β'. Ὅλην ἀποθέμενοι

Ἰησοῦ γλυκύτατε,
ψυχῆς ἐμῆς θυμηδία,
Ἰησοῦ μου, κάθαρσις
τοῦ νοός μου, δέσποτα πολυέλεε,
Ἰησοῦ σῶσον με,
Ἰησοῦ σωτήρ μου,
Ἰησοῦ μου παντοδύναμε,
μὴ καταλίπῃς με,
σῶτερ Ἰησοῦ μου, ἐλέησον
καὶ λύτρωσαι κολάσεως
πάσης, Ἰησοῦ, *καὶ ἀξίωσον*
τῆς τῶν σῳζομένων
μερίδος, Ἰησοῦ μου, *καὶ χορῷ*
τῶν ἐκλεκτῶν σου με σύνταξον,
Ἰησοῦ *πανάγαθε.*

Ὅμοιον.

Ἰησοῦ γλυκύτατε,
τῶν ἀποστόλων ἡ δόξα,
Ἰησοῦ μου, καύχημα
τῶν μαρτύρων, δέσποτα πολυέλεε,
Ἰησοῦ σῶσον με,
Ἰησοῦ σωτήρ μου,
Ἰησοῦ μου ὡραιότατε,
τὸν σοὶ προστρέχοντα,
σῶτερ Ἰησοῦ μου, ἐλέησον
πρεσβείαις τῆς τεκούσης σε,
πάντων, Ἰησοῦ, *τῶν ἁγίων σου*

Heirm. stich. ER 281

www.tezaurliturgic.ro

προφητῶν τε πάντων,
σωτήρ μου Ἰησοῦ, καὶ τῆς τρυφῆς
τοῦ παραδείσου ἀξίωσον,
Ἰησοῦ μακρόθυμε.

Ὅμοιον.

Ἰησοῦ γλυκύτατε,
τῶν ἀσκητῶν ἡ φαιδρότης,
Ἰησοῦ πανάγαθε,
τῶν παρθένων καύχημα καὶ διάσωσμα,
Ἰησοῦ, πρόφθασον,
Ἰησοῦ σωτήρ μου,
Ἰησοῦ μου καὶ κολάσεως
κἀμὲ ἐξάρπασον,
σῶτερ Ἰησοῦ μου, καὶ σύνταξον
μερίδι σωζομένων με,
σῶτερ Ἰησοῦ, καὶ κατάταξον
τοῖς ἐκ δεξιῶν σου,
σωτήρ μου Ἰησοῦ, καὶ τῆς χαρᾶς
τῆς αἰωνίου ἀξίωσον,
Ἰησοῦ γλυκύτατε.

Ὅμοιον.

Ἰησοῦ γλυκύτατε,
τῶν ἐν ἀνάγκαις ὁ ῥύστης
Ἰησοῦ μου, πέλαγος
τοῦ ἐλέους, δέσποτα, ἀνεξάντλητον,
Ἰησοῦ σῶσον με,
Ἰησοῦ σωτήρ μου,
Ἰησοῦ μου, καὶ ἀπάλλαξον
παθῶν παντοίων με,
σῶτερ Ἰησοῦ, καὶ οἰήσεως
καὶ δόξης αἰωνίου με,
τότε Ἰησοῦ, καταξίωσον
καὶ τῆς δεξιᾶς σου
μερίδος, Ἰησοῦ μου, σὺν χοροῖς

42, 57 Mat. 25: 34

τῶν ἐκλεκτῶν σου σκηνώσας με,
Ἰησοῦ γλυκύτατε.

F. 142v **Ὁ κανών.**
Ὠδὴ πρώτη. Ἦχος β'. Ἐν βυθῷ κατέστρωσε ποτε

Ἰησοῦ γλυκύτατε Χριστέ,
Ἰησοῦ μακρόθυμε
τὰ τῆς ψυχῆς μου θεράπευσον τραύματα,
Ἰησοῦ, καὶ γλύκανον
τὴν καρδίαν μου, πολυέλεε δέσποτα,
Ἰησοῦ σωτήρ μου,
ἵνα μεγαλύνω σε σωζόμενος.

Ἰησοῦ γλυκύτατε Χριστέ,
Ἰησοῦ διάνοιξον
τῆς μετανοίας μοι πύλας, φιλάνθρωπε,
Ἰησοῦ, καὶ δέξαι με,
σοὶ προσπίπτοντα καὶ θερμῶς ἐξαιτούμενον,
Ἰησοῦ σωτήρ μου,
τῶν πλημμελημάτων τὴν συγχώρησιν.

Ἰησοῦ γλυκύτατε Χριστέ,
Ἰησοῦ ἐξάρπασον
ἐκ τῆς χειρὸς τοῦ δολίου Βελίαρ με,
Ἰησοῦ καὶ ποίησον
δεξιὸν παραστάτην τῆς δόξης σου,
Ἰησοῦ σωτήρ μου,
μοίρας εὐωνύμου λυτρωσάμενος.

Θ. Ἰησοῦν γεννήσασα Θεόν,
δέσποινα πανάχραντε,
ὑπὲρ ἀχρείων οἰκετῶν δυσώπησον,
ὅπως τῆς κολάσεως
ταῖς πρεσβείαις σου λυτρωθῶμεν, ἀμόλυντε,

Heirm. α' EE 34, n. 46, Joannis

81 Mat. 25: 34

www.tezaurliturgic.ro

οἱ μεμολυσμένοι
δόξης ἀϊδίου ἀπολαύσαντες.

Ὠδὴ τρίτη. Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας

Εἰσάκουσον, φιλάνθρωπε Ἰησοῦ μου,
τοῦ δούλου σου βοῶντος ἐν κατανύξει
καὶ ῥῦσαι, Ἰησοῦ, με τῆς καταδίκης
καὶ τῆς κολάσεως, μόνε μακρόθυμε,
Ἰησοῦ γλυκύτατε πολυέλεε.

Ὑπόδεξαι τὸν δοῦλον σου, Ἰησοῦ μου,
προσπίπτοντα σὺν δάκρυσιν, Ἰησοῦ μου,
καὶ σῶσον, Ἰησοῦ, με μετανοοῦντα
καὶ τῆς κολάσεως, δέσποτα, λύτρωσαι
Ἰησοῦ γλυκύτατε πολυέλεε.

Τὸν χρόνον, Ἰησοῦ μου, ὃν δέδωκας μοι
εἰς πάθη ἐδαπάνησα, Ἰησοῦ μου
διό με, Ἰησοῦ μου, μὴ ἀπορρίψῃς,
ἀλλ' ἀνακάλεσαι, δέομαι, δέσποτα
Ἰησοῦ γλυκύτατε, καὶ διάσωσον.

Θ. Παρθένε, ἡ τεκοῦσα τὸν Ἰησοῦν μου,
ἱκέτευε ῥυσθῆναι με τῆς γεέννης,
ἡ μόνη προστασία τῶν θλιβομένων,
θεοχαρίτωτε, καὶ καταξίωσον
τῆς ζωῆς, πανύμνητε, τῆς ἀγήρω με.

Ὠδὴ τετάρτη. Ἐλήλυθας

Θεράπευσον,
Ἰησοῦ μου, ψυχῆς μου τὰ τραύματα

Heirm. γ′ EE 38, n. 51, Cosmae
Heirm. δ′ EE 34, n. 46, Joannis

105 Cfr. Mat. 5: 22

Ἰησοῦ μου, δέομαι,
καὶ τῆς χειρός με ἐξάρπασον,
Ἰησοῦ μου εὔσπλαγχνε,
τοῦ ψυχοφθόρου Βελίαρ καὶ διάσωσον.

F. 143 Οὐχ ἥμαρτεν,
Ἰησοῦ μου, οὐδεὶς ὥσπερ ἥμαρτον
ἐγὼ ὁ ταλαίπωρος,
ἀλλὰ προσπίπτω δεόμενος,
Ἰησοῦ μου, σῶσον με
καὶ τὴν ζωήν, Ἰησοῦ, μοι κληροδότησον.

Ἀγκίστρῳ με
ἡδονῆς δελεάσας ὁ δόλιος,
Ἰησοῦ, αἰχμάλωτον
καταλαβών, νῦν καθέλκει με·
τούτου με ἀφάρπασον
ὡς ἀγαθός, Ἰησοῦ μου παντοδύναμε.

Θ. Ὑπέρκεισαι
Χερουβίμ, Σεραφίμ, ὑπερύμνητε,
ὡς μόνη κυήσασα
τὸν Ἰησοῦν μου καὶ Κύριον·
ὅνπερ καθικέτευε
τοῦ λυτρωθῆναι κινδύνων τοὺς ὑμνοῦντας σε.

Ὠδὴ πέμπτη. Ὁ φωτισμός

Σὺ φωτισμός,
Ἰησοῦ μου, σωτὴρ μου, σὺ σωτηρία
τῆς ἀπεγνωσμένης ψυχῆς μου, σῶτερ,
σὺ Ἰησοῦ μου,
τῆς κολάσεως ῥῦσαι
καὶ γεέννης ἐμὲ κραυγάζοντα·
σῶσον, Ἰησοῦ μου Χριστέ, με τὸν ἄθλιον.

Heirm. ε′ EE 34, n. 46, Joannis

133-134 Ps. 26: 1

www.tezaurliturgic.ro

Ὁλοσχερῶς,
Ἰησοῦ μου, πρὸς πάθη τῆς ἀτιμίας
καταβεβλημένος, ἤδη κραυγάζω,
σὺ Ἰησοῦ μου,
βοηθείας μοι χεῖρα
καταπέμψας, ἔκσπασον κράζοντα·
σῶσον, Ἰησοῦ μου Χριστέ, με τὸν ἄσωτον.

Ὁ νεκρωθεὶς
ἐν σταυρῷ, Ἰησοῦ μου, τὴν νεκρωθεῖσαν
ζώωσον ψυχήν μου, ὦ Ἰησοῦ μου,
καὶ τὸ ἀρχαῖον,
Ἰησοῦ, ταύτην κάλλος
ὡς οἰκτίρμων, Χριστέ, ἀμφίασον
πράττουσαν τὰ σά, Ἰησοῦ, δικαιώματα.

Θ. Τὸν Ἰησοῦν
ἡ γεννήσασα κόρη, θεογεννῆτορ,
τοῦτον ἐκδυσώπει σωθῆναι πάντας
τοὺς ὀρθοδόξους,
μοναστὰς καὶ μιγάδας
καὶ γεέννης ῥυσθῆναι κράζοντας·
«πλήν σου προστασίαν βεβαίαν οὐκ ἔγνωμεν.»

Ὠδὴ ἕκτη. Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος

Ἰησοῦ μου, Χριστὲ πολυέλεε,
ἐξομολογούμενον δέξαι με, δέσποτα,
ὦ Ἰησοῦ, καὶ σῶσον με
καὶ φθορᾶς, Ἰησοῦ, με ἐξάρπασον.

Ἰησοῦ μου, οὐ γέγονεν ἕτερος
ἄσωτος οὐδεὶς ὡς ἐγὼ ὁ ταλαίπωρος,
ὦ Ἰησοῦ φιλάνθρωπε·
ἀλλὰ σύ, Ἰησοῦ, με διάσωσον.

Heirm. ϛ′ EE 34, n. 46, Joannis
151 ταύτην ex ταύτῃ corr. Me in D

153 Cfr. Ps. 118: 112 **164** Ps. 102: 4

Ἰησοῦ μου, καὶ πόρνην καὶ ἄσωτον
καὶ τὸν Μανασσῆν καὶ τελώνην νενίκηκα,
ὦ Ἰησοῦ μου, πάθεσι
καὶ ληστήν, Ἰησοῦ, Νινευῖτας τε.

Θ. Ἰησοῦν τὸν Χριστόν μου κυήσασα,
ἄχραντε παρθένε, ἡ μόνη ἀμόλυντος,
F. 143ᵛ μεμολυσμένον ὄντα με
πρεσβειῶν σου ὑσσώπῳ νῦν κάθαρον.

Κάθισμα. Ἦχος α′. *Τὸν τάφον σου, σωτήρ,*

Σωτήρ μου Ἰησοῦ,
ὁ τὸν ἄσωτον σώσας,
σωτήρ μου Ἰησοῦ,
ὁ δεξάμενος πόρνην,
κἀμὲ νῦν ἐλέησον,
Ἰησοῦ πολυέλεε,
σῶσον, οἰκτειρον,
ὦ Ἰησοῦ εὐεργέτα,
ὥσπερ, εὔσπλαγχνε,
τὸν Μανασσῆν, Ἰησοῦ μου,
ὁ μόνος φιλάνθρωπος.

Ὠδὴ ἑβδόμη. *Εἰκόνος χρυσῆς*

Χριστὲ Ἰησοῦ,
οὐδεὶς ἥμαρτεν ἐν γῇ ἐκ τοῦ αἰῶνος,
ὦ Ἰησοῦ μου, ὥσπερ ἥμαρτον

Heirm. cath. ER 226
Heirm. ζ′ EE 39, n. 53, Cosmae

169 Lu. 7: 37-47; Lu. 15: 13 **170** II Ch. 33:12-13; Mat. 10: 3; Lu. 5: 27
172 Lu. 23:43; Jno. 3: 4-10 **176** Ps. 50: 7 **178** Lu. 15: 13
180 Lu. 7: 37-47 **186** II Ch. 33: 12-13

www.tezaurliturgic.ro

ἐγὼ ὁ τάλας καὶ ἄθλιος·
ὅθεν, Ἰησοῦ μου, βοῶ σοι·
μελῳδοῦντα με οἰκτειρον·
εὐλογητὸς εἶ Ἰησοῦ, ὁ τῶν πατέρων Θεός.

Χριστὲ Ἰησοῦ,
ἐκ τοῦ φόβου σου βοῶ, καθήλωσόν με,
ὦ Ἰησοῦ μου, καὶ κυβέρνησον
νῦν πρὸς λιμένα με εὔδιον,
ὅπως, Ἰησοῦ μου οἰκτίρμον,
μελῳδῶ σοι σωζόμενος·
εὐλογητὸς εἶ Ἰησοῦ, ὁ τῶν πατέρων Θεός.

Χριστὲ Ἰησοῦ,
μυριάκις ὑπεσχέθην σοι ὁ τάλας,
ὦ Ἰησοῦ μου, τὴν μετάνοιαν,
ἀλλ' ἐψευσάμην ὁ ἄθλιος,
ὅθεν, Ἰησοῦ μου, βοῶ σοι·
μελῳδοῦντα με οἰκτειρον·
εὐλογητὸς εἶ Ἰησοῦ, ὁ τῶν πατέρων Θεός.

Θ. *Χριστὸν Ἰησοῦν*
ἡ γεννήσασα φρικτῶς καὶ ὑπὲρ φύσιν,
αὐτὸν δυσώπει, παναμώμητε,
τὰ παρὰ φύσιν μου πταίσματα
πάντα συγχωρῆσαι μοι, κόρη,
ἵνα κράζω σωζόμενος·
εὐλογημένη, Ἰησοῦν Θεὸν ἡ τέξασα.

Ὠδὴ ὀγδόη. Τὸν ἐν καμίνῳ τοῦ πυρός

Σέ, Ἰησοῦ μου, δυσωπῶ·
ὡς τὴν πόρνην, Ἰησοῦ μου, ἐλυτρώσω
τῶν πολλῶν ἐγκλημάτων,
οὕτω κἀμέ, Ἰησοῦ,
Χριστέ μου,

Heirm. η' EE 35, n. 47, Joannis

196 Ps. 118: 120 **217** Lu. 7: 37-47

λύτρωσαι καὶ κάθαρον
τὴν ῥερυπωμένην ψυχήν μου, Ἰησοῦ μου.

Καθυποκύψας, Ἰησοῦ,
ταῖς ἀλόγαις ἡδοναῖς ἄλογος ὤφθην
καὶ τοῖς κτήνεσιν ὅντως,
ὦ Ἰησοῦ μου, οἰκτρῶς
ὁ τάλας,
σῶτερ, ἀφωμοίωμαι·
ὅθεν, Ἰησοῦ, με τῆς ἀλογίας ῥῦσαι.

Ἐκτυφλωθεὶς ταῖς ἡδοναῖς,
Ἰησοῦ μου, τὴν ψυχὴν ἐσκοτισμένος,
Ἰησοῦ μου, βαδίζω
ἀλλ' ὡς θεός, Ἰησοῦ,
προφθάσας,
Ἰησοῦ, με φώτισον,
Ἰησοῦ σωτήρ μου, ὡς μόνος φωτοδότης.

F. 144 Θ. *Τὸν Ἰησοῦν μου καὶ Θεόν*
ἡ βαστάσασα Χριστὸν ἀνερμηνεύτως,
θεοτόκε Μαρία,
τοῦτον δυσώπει ἀεὶ
κινδύνων
σῴζεσθαι τὴν πόλιν σου
καὶ τοὺς ὑμνητάς σου, ἀπείρανδρε παρθένε.

Ὠδὴ ἐνάτη. Τὸν ἐκ Θεοῦ Θεὸν λόγον

Τὸν Μανασσῆν, Ἰησοῦ μου,
τὸν τελώνην, τὴν πόρνην,
τὸν ἄσωτον, οἰκτίρμον Ἰησοῦ,
καὶ τὸν ληστὴν ὑπερβέβηκα,

Heirm. θ' EE 34, n. 46, Joannis

243 II Ch. 33: 12-13 **225, 228** Ps. 48: 12
244 τελώνης Mat. 10: 3; Lu. 5: 27 πόρνη Lu. 7: 37-47
245 Lu. 15: 13 **246** Lu. 23: 43

www.tezaurliturgic.ro

Ἰησοῦ μου, ἐν ἔργοις
αἰσχίστοις καὶ ἀτόποις, Ἰησοῦ
ἀλλὰ σύ, Ἰησοῦ μου,
προφθάσας, με διάσωσον.

Τοὺς ἐξ Ἀδάμ, Ἰησοῦ μου,
ἁμαρτήσαντας πάντας
πρὸ νόμου καὶ ἐν νόμῳ, Ἰησοῦ,
καὶ μετὰ νόμον ὁ ἄθλιος,
Ἰησοῦ μου, καὶ χάριν
νενίκηκα τοῖς πάθεσιν οἰκτρῶς·
ἀλλὰ σύ, Ἰησοῦ μου,
τοῖς κρίμασι σου σῶσον με.

Μὴ χωρισθῶ, Ἰησοῦ μου,
τῆς ἀφράστου σου δόξης,
μὴ τύχω τῆς μερίδος, Ἰησοῦ,
τῆς εὐωνύμου, γλυκύτατε
Ἰησοῦ, ἀλλὰ σύ με
τοῖς δεξιοῖς προβάτοις σου, Χριστέ,
Ἰησοῦ μου, συντάξας
ἀνάπαυσον, μακρόθυμε.

Θ. Τὸν Ἰησοῦν, Θεοτόκε,
ὃν ἐβάστασας μόνη,
ἀπείρανδρε παρθένε Μαριάμ,
τοῦτον, ἁγνή, ἐξιλέωσαι
ὡς υἱόν σου καὶ κτίστην
ῥυσθῆναι τοὺς προστρέχοντας εἰς σὲ
πειρασμῶν καὶ κινδύνων
καὶ τοῦ πυρὸς τοῦ μέλλοντος.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις

Ὦ Ἰησοῦ σωτήρ μου,
ὦ Ἰησοῦ μου κραταιέ,

Heirm. exap. HR 53

261-262 Mat. 25: 41 **264** Mat. 25: 34 **266** Mat. 11: 28

ὡς συμπαθής, Ἰησοῦ μου,
συμπάθησόν μοι, Ἰησοῦ,
ἵνα φαιδρῶς, Ἰησοῦ μου,
σοῦ μεγαλύνω τὴν δόξαν.

Στιχηρά. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα

Σέ, Ἰησοῦ καὶ Θεέ μου πανυπεράγαθε,
σέ, Ἰησοῦ σωτὴρ μου,
δυσωπῶ, Ἰησοῦ μου,
ἐξάρπασόν με πάσης,
λόγε, φρικτῆς,
Ἰησοῦ μου, κολάσεως
καὶ ἀθανάτου με δόξης, ὦ Ἰησοῦ,
καταξίωσον, φιλάνθρωπε.

Ὅμοιον.

Τὸν Ἰησοῦν καὶ Θεόν μου τὸν ἀκατάληπτον
ἐκδυσωπῶ σε, λόγε,
Ἰησοῦ μου σωτὴρ μου,
μερίδος δεξιᾶς με
σῆς, Ἰησοῦ,
καταξίωσον, δέσποτα,
καὶ τῆς κολάσεως ῥῦσαι, ὦ Ἰησοῦ,
καὶ πυρὸς τοῦ αἰωνίζοντος.

Ὅμοιον.

Ταῖς τῶν ἁγίων ἁπάντων πρεσβείαις, δέσποτα,
ὦ Ἰησοῦ, σωτὴρ μου,
καὶ τῆς σὲ κυησάσης
κυβέρνησόν μου, λόγε,
ὦ Ἰησοῦ,
τὴν ζωὴν καὶ κατεύθυνον

Heirm. stich. MR II 54

292-294 Mat. 25: 34 **302-303** Ps. 118: 5

www.tezaurliturgic.ro

πρὸς τὰς ὁδοὺς τὰς φέρουσας, ὦ Ἰησοῦ,
πρὸς ζωὴν τὴν αἰωνίζουσαν.

F. 144^{v} ***Ἕτερα. Ἦχος β′. Οἶκος τοῦ Εὐφραθᾶ***

Πάρασχε, Ἰησοῦ, ἱλασμόν μοι πταισμάτων,
ἀμέτρων, Ἰησοῦ μου,
σωτήρ μου Ἰησοῦ μου,
οὐδὲν γάρ σοι ἀδύνατον.

Δώρησαι, Ἰησοῦ, σὴν ὑπὲρ νοῦν εἰρήνην,
παθῶν, ὦ Ἰησοῦ μου,
σωτήρ μου Ἰησοῦ μου,
σβέσας ὁρμὰς ἀτόπους μοι.

Πλῆσον μου, Ἰησοῦ, ἀφράστου σῆς ἀγάπης,
καρδίαν, Ἰησοῦ μου,
σωτήρ μου Ἰησοῦ μου,
τοῦ ἀχρείου οἰκέτου σου.

Ἄνοιξον, Ἰησοῦ, τὰς κόρας τῆς ψυχῆς μου,
καὶ δεῖξον, Ἰησοῦ μου,
σωτήρ μου Ἰησοῦ μου,
τὸ φῶς σου τὸ ἀΐδιον.

Ἄνοιξον, Ἰησοῦ, τὰς πύλας παραδείσου,
καὶ δέξαι μέσον τούτου,
σωτήρ μου Ἰησοῦ μου,
ἐμὲ τὸν ἀδιόρθωτον.

Heirm. stich. alterorum MR II 552

306-307 σωτήρ μου, Ἰησοῦ μου / ἀμέτρων, Ἰησοῦ μου, primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit Me in D, cujus correctionis auctoritate ordinem inverti in vv. 310-311, 314-315 etc.

Θεοτοκίον.

Σὺ δὲ χριστιανῶν βεβαία προστασία,
τῶν ἀσκητῶν ἡ δόξα,
ἀμόλυντε παρθένε,
σῷζε τοὺς σὲ γεραίροντας.

Τὴν τιμιωτέραν τῶν Χερουβείμ

Ἰησοῦ, γλυκύτατε Ἰησοῦ,
Ἰησοῦ, τὸ θεῖον καὶ σεβάσμιον, Ἰησοῦ,
ὄνομα καὶ πρᾶγμα, Χριστέ μου Ἰησοῦ μου,
σωτήρ μου Ἰησοῦ μου, σῶσον με δέομαι.

Ἰησοῦ, γλυκύτατε Ἰησοῦ,
Ἰησοῦ, τοῦ κόσμου τὸ σωτήριον, Ἰησοῦ,
καὶ τῶν μοναζόντων ἡ σκέπη, Ἰησοῦ μου,
σωτήρ μου Ἰησοῦ μου, δός μοι κατάνυξιν.

Ἰησοῦ, γλυκύτατε Ἰησοῦ,
Ἰησοῦ, νοός μου τὸ καθάρσιον, Ἰησοῦ,
ψυχῆς μου τερπνότης, χαρὰ καὶ εὐφροσύνη,
Χριστέ μου Ἰησοῦ μου, ὑμνῶ, δοξάζω σε.

Ἰησοῦ, γλυκύτατε Ἰησοῦ,
Ἰησοῦ, πνοή μου, Ἰησοῦ μου ὁ γλυκασμός
τῆς ἐμῆς, Θεέ μου, καρδίας, Ἰησοῦ μου,
ἔρως μου, Ἰησοῦ μου, τὸ φῶς μου, σῶσον με.

Ἰησοῦ, γλυκύτατε Ἰησοῦ,
Ἰησοῦ, ζωή μου, Ἰησοῦ μου, ἔρως ἐμός,
διάθεσις πᾶσα ψυχῆς καὶ σώματός μου,
γαλήνη μου, τὸ φῶς μου, Ἰησοῦ, σῶσον με.

Heirm. stich. alterorum EE 163, n. 230, Cosmae

www.tezaurliturgic.ro

Ἰησοῦ, γλυκύτατε Ἰησοῦ,
Ἰησοῦ, νυμφίε τῶν ψυχῶν ἡμῶν, Ἰησοῦ,
καρδίας μου νῆψις, Χριστέ μου Ἰησοῦ μου,
Θεέ μου Ἰησοῦ μου, φώτισον, σῶσον με.

Ἰησοῦ, γλυκύτατε Ἰησοῦ,
τῆς ψυχῆς μου ἔρως, τῆς καρδίας μου γλυκασμός,
Ἰησοῦ σωτήρ μου, τὸ παρηγόρημά μου,
Θεέ μου λυτρωτά μου, οἰκτειρον, σῶσον με.

Ἰησοῦ μου, κάλλος τὸ νοητόν,
ὦ γλυκύτατέ μου καὶ πανάγαθε Ἰησοῦ,
δέξαι μου τὸν ὕμνον, ὅνπερ ἐξ ἀναξίων
τετόλμηκα χειλέων ἰδοὺ προσάξαι σοι.

*

* *

XXI. Ἀκολουθία παρακλητικὴ εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα καὶ τὸν αὐτῆς ἕνα τὸν δι' ἡμᾶς σαρκωθέντα Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, εἰς τοὺς ἀσωμάτους καὶ εἰς τοὺς ἁγίους ἅπαντας.

F. 137

Στιχηρά, ὧν ἡ ἀκροστιχίς· Μάρκου ἱερομονάχου. Ἦχος β'. *Ποίοις εὐφημιῶν στέμμασιν*

Μέγα τὸ εὐσεβὲς κήρυγμα,
πάσης διανοίας ὑπερέχον·
εἷς γὰρ ἐν τρισὶν ὑποστάσεσιν
ὁ Θεὸς ἡμῖν πεφανέρωται
διὰ τῆς φρικτῆς οἰκονομίας
τοῦ λόγου, τοῦ σαρκωθέντος ἐν ὑστέροις καιροῖς,
καὶ πᾶσι τὴν ἁπλανῆ πίστιν γνωρίσαντος
τὴν εἰς πατέρα υἱόν τε
καὶ ἅγιον πνεῦμα μίαν δύναμιν καὶ μορφήν,
μίαν φύσιν ἐν ἀσυγχύτοις ταῖς ἰδιότησιν.

Ἆρον τὴν χθαμαλὴν φρένα μου
τῆς περιπεζίου προσπαθείας
εἰς τὰ τῶν ἁγίων ἐνδότατα,
ἡ τῶν Σεραφὶμ θείαις πτέρυξι
συγκαλυπτομένη ἀπροσίτως,
τρισὶν ἐν ἁγιασμοῖς δοξαζομένη τε
εἰς μίαν συναγομένοις κυριότητα,
τριὰς ἁπλῆ παναγία,
καὶ τὸ θεῖον ᾄσμα τῆς κρυφιομύστου μολπῆς
ἀκοαῖς ταῖς ἔνδον ἐνηχηθῆναι με ἀξίωσον.

Tit. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μάρκου ἀρχιεπισκόπου Ἐφέσου τοῦ Εὐγενικοῦ εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα καὶ τὸν αὐτῆς ἕνα τὸν δι' ἡμᾶς V

Heirm. stich. MR X 104 Nullam acrostichidem stich. refert V

13-15 Ex. 25: 19

www.tezaurliturgic.ro

Ἰησοῦ, γλυκύτατε Ἰησοῦ,
Ἰησοῦ, νυμφίε τῶν ψυχῶν ἡμῶν, Ἰησοῦ,
καρδίας μου νῆψις, Χριστέ μου Ἰησοῦ μου,
Θεέ μου Ἰησοῦ μου, φώτισον, σῶσον με.

Ἰησοῦ, γλυκύτατε Ἰησοῦ,
τῆς ψυχῆς μου ἔρως, τῆς καρδίας μου γλυκασμός,
Ἰησοῦ σωτήρ μου, τὸ παρηγόρημά μου,
Θεέ μου λυτρωτά μου, οἰκτειρον, σῶσον με.

Ἰησοῦ μου, κάλλος τὸ νοητόν,
ὦ γλυκύτατέ μου καὶ πανάγαθε Ἰησοῦ,
δέξαι μου τὸν ὕμνον, ὅνπερ ἐξ ἀναξίων
τετόλμηκα χειλέων ἰδοὺ προσάξαι σοι.

*

* *

XXI. Ἀκολουθία παρακλητικὴ εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα καὶ τὸν αὐτῆς ἕνα τὸν δι' ἡμᾶς σαρκωθέντα Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, εἰς τοὺς ἀσωμάτους καὶ εἰς τοὺς ἁγίους ἅπαντας.

F. 137 **Στιχηρά, ὧν ἡ ἀκροστιχίς· Μάρκου ἱερομονάχου. Ἦχος β'. *Ποίοις εὐφημιῶν στέμμασιν***

Μέγα τὸ εὐσεβὲς κήρυγμα,
πάσης διανοίας ὑπερέχον·
εἰς γὰρ ἐν τρισὶν ὑποστάσεσιν
ὁ Θεὸς ἡμῖν πεφανέρωται
διὰ τῆς φρικτῆς οἰκονομίας
τοῦ λόγου, τοῦ σαρκωθέντος ἐν ὑστέροις καιροῖς,
καὶ πᾶσι τὴν ἁπλανῆ πίστιν γνωρίσαντος
τὴν εἰς πατέρα υἱόν τε
καὶ ἅγιον πνεῦμα μίαν δύναμιν καὶ μορφήν,
μίαν φύσιν ἐν ἀσυγχύτοις ταῖς ἰδιότησιν.

Ἆρον τὴν χθαμαλὴν φρένα μου
τῆς περιπεζίου προσπαθείας
εἰς τὰ τῶν ἁγίων ἐνδότατα,
ἡ τῶν Σεραφὶμ θείαις πτέρυξι
συγκαλυπτομένη ἀπροσίτως,
τρισὶν ἐν ἁγιασμοῖς δοξαζομένη τε
εἰς μίαν συναγομένοις κυριότητα,
τριὰς ἁπλῆ παναγία,
καὶ τὸ θεῖον ἅσμα τῆς κρυφιομύστου μολπῆς
ἀκοαῖς ταῖς ἔνδον ἐνηχηθῆναι με ἀξίωσον.

Tit. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μάρκου ἀρχιεπισκόπου Ἐφέσου τοῦ Εὐγενικοῦ εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα καὶ τὸν αὐτῆς ἕνα τὸν δι' ἡμᾶς V

Heirm. stich. MR X 104 Nullam acrostichidem stich. refert V

13-15 Ex. 25: 19

www.tezaurliturgic.ro

Ῥήσεις τῶν προφητῶν ἄνωθεν
καὶ τῶν θεηγόρων ἀποστόλων
ἕνα κατ᾽ οὐσίαν ἀμέριστον
ἐν δὲ τοῖς προσώποις τρισσούμενον
τὸν τριαδικὸν Θεὸν ὑμνοῦσιν·
οἷς ἔπεσθαι θεμιτὸν εἶναι ἡγούμενος
ἐξ ὅλης μου τῆς ψυχῆς καὶ διαθέσεως,
κρατύνω ταύτην τὴν πίστιν
καὶ φρονῶ καὶ σῴζω διὰ πάσης μου τῆς ζωῆς
καὶ δι᾽ αὐτῆς πταισμάτων αἰτοῦμαι λαβεῖν ἄφεσιν.

Κλίνας τοὺς οὐρανοὺς ὕπερθεν
ἐκ τῶν τῆς θεότητος ἀδύτων,
σαρκικὴν στολὴν περιθέμενος,
ὁ ἀρχιερεὺς προελήλυθας
τοῦ Θεοῦ ὁ μέγας πρὸς τοὺς δούλους,
ἐν αἵματι τῷ ἰδίῳ προθυόμενος
καὶ λύτρωσιν αἰωνίαν κομισάμενος
τοῖς ὑπευθύνοις, οἰκτίρμον,
οὗ μετέχοντά με διαφύλαξον ἀσινῆ
καὶ ἐν τῷ νῦν αἰῶνι τούτῳ καὶ ἐν τῷ μέλλοντι.

Ὅλον τὸν παλαιὸν ἄνθρωπον
ἐν τῇ τοῦ βαπτίσματος ἐκπλύσει
συνεξεδυσάμην ταῖς πράξεσι
καὶ ἐπιθυμίαις τῇ χάριτι
F. 137v τοῦ τετιμηκότος με δεσπότου
ἐντεῦθεν λοιπὸν ὀφείλων πολιτεύεσθαι
τοῖς νόμοις τοῖς ὑπ᾽ αὐτοῦ τεθεῖσιν, ἔγωγε
τὴν ἐναντίαν ὁδεύω,

37 αἰωνίαν D: αἰωνίων V **48** ὁδεύω D: ὁδεύων V

34-37 He. 9: 11-12 **41** Eph. 4: 22

προστροπαῖς ἁπάσαις κηλιδώσας μου τὴν ψυχήν·
ἀλλ᾽ αὖθις, ὁ συμπαθής, τὴν πρώτην χάριν μοι δώρησαι.

Ὕψος ἐπὶ σταυροῦ ἄτιμον
παραδειγματίζων τὴν κακίαν
ὁ τιμῆς ἁπάσης ἐπέκεινα
ἔτλης, Ἰησοῦ μου, καὶ θάνατον
τὸν μετὰ ἀνόμων, ἀλλ᾽ ἀνέστης
τριήμερος, συνεγείρας τὸ ἀνθρώπινον·
ἐκεῖνα σκυθρωποτέρας διαθέσεως,
ταῦτα χαρᾶς ἀνεκφράστου
διὸ τῷ σῷ φόβῳ καθηλώσας μου τῆς σαρκὸς
τὸ φρόνημα, τὴν ψυχὴν ἀγάπῃ θείᾳ ἀνάστησον.

Ἕτερα. Ἦχος δεύτερος. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν

Τῶν ἀσωμάτων
Ἴλας οὐρανίου στρατιᾶς
ὁ τὴν ἐπιχθόνιον ταύτην ἕλκων ζωὴν καὶ λυπρὰν
εὐφημεῖν τετόλμηκα, τὰ Σεραφίμ, Χερουβίμ,
κυριότητας, θρόνους τε ἀρχάς, ἐξουσίας,
δυνάμεις ἀγγέλους τε καὶ ἀρχαγγέλων χορούς,
οὓς ὡς παραστάτας τοῦ θρόνου
τοῦ δεσποτικοῦ ἱκετεύω
δεξιᾶς μερίδος ἀξιῶσαι με.

Τοῦ Προδρόμου
Ἔργῳ τοῦ Σωτῆρος ἡ φωνὴ
ἡ παναληθὴς μαρτυρεῖται ἐν γεννητοῖς γυναικῶν,
μείζονά σου φάσκουσα μὴ ἐγηγέρθαι βροτόν,
Ἰωάννη· τὴν ἔρημον καὶ γὰρ οἰκεῖς πρῶτος
ἀκριδομελίτροφος, θριξὶ καμήλου ῥιγῶν·
ὅθεν καὶ μειζόνων χαρίτων

Heirm. stich. alterorum ER 238 Ἦχος δεύτερος om. Me in D. Post Ἕτερα add. στιχηρὰ τῶν ἀσωμάτων· Εἰς τοὺς αἴνους V **49** κηλιδώσας D: κηλιδούσαις V **60** ἀγάπῃ θείᾳ D: ἀπαθείας V

68 Cfr. Mat. 25: 33-34 **70-71** Mat. 11: 11 **73** Mat. 3: 4

www.tezaurliturgic.ro

κατηξιωμένος θεόθεν
μεταδοίης τούτων τοῖς ὑμνοῦσι σε.

Ἀποστόλων Ῥήματα ζωῆς ἀληθινῆς
φέροντες ἐν κόσμῳ, θεόπται, ἐξαπεστάλητε,
Πέτρε, Παῦλε, Φίλιππε, Θωμᾶ, Ἀνδρέα, Λουκᾶ,
Ἰωάννη, Ἰάκωβε καὶ Βαρθολομαῖε,
Ματθαῖε, Ἰάκωβε, ὁ τοῦ Ἀλφαίου υἱός,
Σίμων καὶ Ματθία καὶ Μάρκε
σὺν τοῖς ἑβδομήκοντα· ὅθεν
λόγον μοι ζωῆς νῦν ἐνηχήσατε.

Προφητῶν Ὅλην τὴν ἀκτῖνα τοῦ φωτὸς
τοῦ θεοποιοῦ καὶ ἀΰλου καθαρωτάτῃ ψυχῇ
δέδεχθε, τυπούμενοι τῷ θείῳ πνεύματι νοῦν,
ὡς παροῦσι τοῖς μέλλουσι συνόντες, προφῆται·
F. 138 ὅθεν ὑμῶν δέομαι τὸν σκοτισθέντα μου νοῦν
πάσαις ἐνθυμήσεσι φαύλαις
ταῖς ὑμῶν φωσφόροις πρεσβείαις,
ὦ θεομακάριστοι, φωτίσατε.

Ἱεραρχῶν Μέγαν τὸν μισθὸν ἐν οὐρανοῖς
οἱ τοῦ ἀμπελῶνος ἐργάται νῦν ἀπειλήφατε,
καύσωνα βαστάσαντες τὸν τῆς ἡμέρας, σοφοί,
ἱεράρχαι θεόκλητοι· διό με μερίτην
δέξασθε, σμικρότατον τοῦτο δωρούμενοι,
βλέπειν τὴν ὑμῶν ἐκεῖ δόξαν
καὶ τοὺς ἀκηράτους στεφάνους,
οἷς ὑμᾶς ὁ Κύριος ἠμείψατο.

Μαρτύρων Ὅπλῳ εὐδοκίας κραταιῷ
καὶ ἐν τῷ καιρῷ τῶν ἀγώνων ἐστεφανώθητε,
μάρτυρες πανόλβιοι, καὶ μετὰ τέλος σεπτόν,
ἀθλοφόρε Γεώργιε, Δημήτριε μάκαρ,
ἄμφω οἱ Θεόδωροι σὺν τοῖς λοιποῖς ἀθληταῖς·
δεῦρο δὴ μικροῖς ἐφυμνίοις
καὶ τοῖς ἐκ τῶν λόγων στεφάνοις
καὶ αὐτὸς ὑμᾶς φιλοτιμήσωμαι.

77 Jno. 6: 68; Ac. 5: 20 **79** Mat. 28: 19 **93-95** Mat. 10: 1-16
101 Ps. 5: 12

Ἱερομαρτύρων Νέαν πολιτείαν καὶ ᾠδὴν
ἄρτι καθιστάμενος πίστει, τῷ νεουργῷ τοῦ παντὸς
ᾄσμα καινουργόπλοκον ᾄδω συντόνῳ ῥυθμῷ·
«θαυμαστὸς ὁ Θεὸς ἡμῶν ἐστὶν ἐν ἁγίοις
τοῖς ἱερομάρτυσι, διπλοῦς ἀγῶνας ἐν γῇ
τόλμῃ λογισμῶν ἐνεγκοῦσι
καὶ καταβαλοῦσι τοῦ πλάνου
τὸ λυσσῶδες θράσος ἀνδρικώτατα».

Ὁσίων Ἄρτι μεταβὰς πρὸς τὸν χορὸν
τὸν τῶν ἀσκητῶν, κατοπτεύω λειμῶνα βρύοντα
ποικίλοις τοῖς ἄνθεσι καὶ ἀρετῶν ταῖς ὁδμαῖς
τὰς αἰσθήσεις ἡδύνομαι ψυχῆς καὶ κραυγάζω·
δόξα τῷ δοξάσαντι τοὺς νικητὰς τοῦ ἐχθροῦ,
δόξα τῷ μεγάλα σημεῖα
δι᾽ αὐτῶν καὶ τέρατα πᾶσιν
ἐπιδειξαμένῳ θαυμαστῷ Θεῷ.

Γυναικῶν μαρτύρων Χαίροις, τῶν ἁγίων γυναικῶν
ὁ τῇ τοῦ Χριστοῦ μαρτυρίᾳ τετιμημένος χορός,
Θέκλα ἡ πρωτόαθλος, Αἰκατερίνα σοφή,
Εὐφημία πανεύφημε, Μαρίνα θεόφρον,
Εὔας τῆς προμήτορος ἀναπαλαίσασαι νῦν
ἧττταν τὴν ἀρχαίαν ἐκείνην
καὶ τὸν τοῦ Θεοῦ ἀποστάτην
ποσὶ τοῖς ὡραίοις συμπατήσασαι.

Γυναικῶν ὁσίων *F. 138v* Ὅσιαι γυναῖκες αἱ μακροὺς
ὑπὲρ ἀρετῆς τοὺς ἱδρῶτας καταβαλόμεναι,
παθῶν τε νεκρώσεως ἀποτινάξασαι
τὸν δυσαίσθητον θύλακον καὶ πίστει τελείᾳ
τῶν ἐπουρανίων νῦν κατατυχοῦσαι γερῶν,
δέησιν Κυρίῳ ποιεῖσθε
ὑπὲρ οἰκτροτάτου οἰκέτου,
σφόδρα παροξύναντος τὸν εὔσπλαγχνον.

141 post ᾠδαῖς add. καὶ V

111 Cfr. Ps. 32: 2 **112** Ps. 67: 35 **132** Si. 26: 18

www.tezaurliturgic.ro

Δόξα

Ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς
τὴν τρισσομονόθεον φύσιν καὶ τοὺς ἁγίων χοροὺς
εὐφημῶν ἱκέτευσα καθ' ἕνα καὶ ἰλαδόν,
νῦν δὲ ἅπαντας ᾄσμασιν εἰς ἓν συναγείρας,
ἵστημι πρεσβεύσοντας τῷ σαρκωθέντι Θεῷ
λύμης ἐγκλημάτων ῥυσθῆναι
καὶ αἰωνιζούσης φλογός με
καὶ τῆς ἐκλεκτῶν τυχεῖν λαμπρότητος.

Καὶ νῦν **Θ.**

Ἄλις τῶν ᾀσμάτων μοι λοιπόν·
σὲ τὴν τοῦ Θεοῦ μου μητέρα κορώνην οἵα χρυσῆν
φέρων, ἐπιτίθημι καὶ ὡς σφραγίδα λαμπράν·
μεμνημένος οὖν, ἄχραντε, φωνῆς τοῦ ἀγγέλου,
ταύτην σοι προσφθέγγομαι· «χαῖρε, χαρὰ τῶν πιστῶν,
ἡ τῶν οὐρανῶν πλατυτέρα
καὶ ἐνδοξοτέρα τῶν νόων,
νέα κιβωτέ, σκηνὴ τῆς χάριτος».

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς· Τῆς Τριάδος τὸν ἕνα σὺν τοῖς ἁγίοις ἱλιτάζω, Μάρκος.

Ὠδὴ πρώτη. Ἦχος πλάγιος δ'.
Ἁρματηλάτην Φαραὼ ἐβύθισε

Τριαδικόν

Τὸ τῆς τριττῆς καὶ ἑνιαίας φύσεως
ἀπαραλλάκτῳ μορφῇ
ἓν ἀμερὲς κράτος
προσκυνῶ καὶ δέομαι
τὴν τῆς ψυχῆς τριμέρειαν
ἀπαθείας πελάγει
καταποντίσαι καὶ δεῖξαι με
ζῶντα καὶ φθεγγόμενον πνεύματι.

145 πρεσβεύσοντας D: πρεσβεύοντας V, Θεῷ om. V **150** κορώνην D: ὡθώνην V

Heirm. α' EE 219, n. 314, Joannis Acrostichidem hoc modo tradit V: Τῆς Τριάδος τὸν ἕνα σὺν ἁγίοις λιτάζω, Μάρκος.

150 κορώνην... χρυσῆν: formula proverbialis **153** Lu. 1: 2
156 κιβωτὸς Ex. 38: 1-8 σκηνὴ Ex. 26: 1 sqq.

Δεσποτικόν

Ἡ τοῦ σωτῆρος πρὸς ἀνθρώπους κάθοδος
μέχρι θανάτου σταυροῦ
σωφρονισμὸς ἔστω
καὶ τομὴ τοῦ χείρονος,
σοί, ὦ ψυχή ταλαίπωρε,
ἐπὶ μνήμην ἰοῦσα
καὶ τὴν πρὸς τοῦτον ἀγάπησιν
ἔνθερμον ἀεὶ ὑπανάπτουσα.

Τῶν ἀσωμάτων

Σεραφίμ, θρόνοι, Χερουβὶμ σοφώτατοι,
δυνάμεις τε καὶ ἀρχαί,
ἐξουσιῶν στίφη,
θεῖαι κυριότητες,
σὺν ἀρχαγγέλοις ἄγγελοι,
τὸν δεσπότην τῶν ὅλων
ἐκδυσωπεῖτε σωθῆναι με,
πταίσμασι πολλοῖς συνεχόμενον.

Τῶν ἁγίων πάντων

Τὴν βασιλείαν τοῦ πατρὸς ἀσάλευτον
κλῆρον εἰλήφατε,
τῆς τοῦ υἱοῦ δόξης
κοινωνοὶ γενόμενοι,
τῶν ἀποστόλων θίασος,
προφητῶν καὶ μαρτύρων,
ἱεραρχῶν καὶ ὁσίων τε
καὶ σεπτῶν γυναίων τὰ τάγματα.

Θεοτοκίον

Ῥάβδος ἐκ ῥίζης Ἰεσσαί, θεόνυμφε,
τὸν βασιλέα Χριστὸν
ὡς εὐπρεπὲς ἄνθος,
ὡς καρπὸν ἡδύπνοον
τῷ κόσμῳ προενήνοχας,
ἁγιάζοντα πίστει
τοὺς δρεπομένους καὶ τρέφοντα
καὶ ψυχῶν αἰσθήσεις καθαίροντα.

166 Phi. 2: 8 **183-184** I Pe. 5: 1 **189** Cfr. Nu. 17: 34

www.tezaurliturgic.ro

Ὠδὴ τρίτη. Ὁ στερεώσας κατ' ἀρχάς

Τριαδικόν

Ἰσοκλεής, ἰσοσθενής,
ἰσότιμος πεφυκυῖα,
τοῖς προσώποις τρισσουμένη τῇ φύσει,
ἑνουμένη τὴν ἐμὴν
διάνοιαν ἰσόρροπον
ἐν τοῖς καλοῖς ἑστᾶναι,
τριὰς μονάς, καταξίωσον.

Δεσποτικόν

Ἅδου κευθμῶνας ὡς Θεὸς
τῷ κράτει σου ἀναρρήξας,
ὁ παθὼν ὑπὲρ ἡμῶν ἑκουσίως,
τὴν κατάκριτον, Χριστέ,
φύσιν σαυτῷ συνύψωσας·
διὸ καὶ νῦν τὸν νοῦν μου
παθῶν κοπρίας ἀνάγαγε.

Τῶν ἀσωμάτων

Δυνάμωσόν μου τὴν ψυχήν,
ὁ τὰς ἀΰλους δυνάμεις
ὑποστήσας ἐξ οὐκ ὄντων βουλήσει,
Χερουβὶμ καὶ Σεραφίμ,
θρόνους καὶ κυριότητας,
ἀρχὰς καὶ ἐξουσίας,
σὺν ἀρχαγγέλοις ἀγγέλοις τε.

Τῶν ἁγίων πάντων

Ὁ μετανοίας ἀκριβὴς
διδάσκαλος, ἐκ ψυχῆς με
τῷ Θεῷ μετανοῆσαι γνησίως
ἐκδυσώπει, βαπτιστά,
σὺν ἀποστόλοις, μάρτυσιν,
ὁσίοις, ἱεράρχαις
καὶ γυναικῶν ταῖς θεόφροσιν.

Θεοτοκίον

Σαλευομένην προσβολαῖς
τῶν τῆς κακίας πνευμάτων
καὶ ἀνθρώπων πονηρῶν ἐπηρείαις,

Heirm. γ' EE 219, n. 314, Joannis

210 Ps. 112: 7 **218-219** Mat. 3: 2

κλονουμένην τὴν ἐμὴν
καρδίαν στῆσον, δέσποινα,
καὶ ἀραρότως ἔχειν
ἐν τοῖς καλοῖς με ἀξίωσον.

Ὠδὴ τετάρτη. Σύ μου, Χριστέ,

Τριαδικόν

Τριὰς ἡμῖν
ἀπὸ μονάδος τὴν κίνησιν
εἰς δυάδα
μέχρι καὶ τριάδος αὐτῆς
ποιησαμένη, ἔστη λοιπὸν
ὁ πατὴρ υἱός τε
F. 139v καὶ πνεῦμα τὸ ὁμοούσιον,
εἰς ἃ καὶ ἐβαπτίσθην
καὶ πιστεύων αἰτοῦμαι
τῶν πταισμάτων λαβεῖν τὴν συγχώρησιν.

Δεσποτικόν

Ὁ σαρκωθεὶς
καὶ σταυρωθεὶς καὶ τὸν θάνατον
τῇ ταφῇ σου
καταργήσας, δίδου μοι
σαρκὶ τεθνᾶναι, τῇ δὲ ψυχῇ
ζωοποιηθῆναι
καὶ νοῦν μετάρσιον δείκνυσθαι
τῆς γῆς καὶ τῶν γηΐνων,
ἐν τῇ ἄνω πατρίδι
τὸ πολίτευμα ἤδη ποιούμενον.

Τῶν ἀσωμάτων

Νόες ἁπλοῖ
καὶ φωτεινοὶ χρηματίζοντες,
τὸν ζοφώδη
νοῦν μου καταυγάσατε,
οἱ Σεραφὶμ σὺν τοῖς Χερουβὶμ
καὶ ταῖς ἐξουσίαις,

Heirm. δ' EE 219, n. 314, Joannis

239 Mat. 28: 19 **243-245** I Co. 15: 26 **251** Phi. 3: 20

www.tezaurliturgic.ro

θρόνοι, ἀρχαί, κυριότητες,
ἀρχάγγελοι, δυνάμεις
καὶ ἀγγέλων χορεῖαι
τὸν τῶν ὅλων Θεὸν ἱκετεύοντες.

Τῶν ἁγίων πάντων

Εἴ τις ὑμῖν
ἀγάπης νόμος καὶ ἔλεος,
εἴ τις μνήμη
ὁμογνίου φύσεως,
ὑπὲρ ἡμῶν δέησιν Θεῷ,
δῆμοι ἀποστόλων
καὶ προφητῶν, προσαγάγετε,
μαρτύρων καὶ ὁσίων
καὶ γυναίων ἁγίων,
ἀθλησάντων ὁ θεῖος κατάλογος.

Θεοτοκίον

Νέον ἡμῖν
Θεὸν παιδίον ἐγέννησας
πρὸ αἰώνων
τὸν συγκαθεζόμενον
τῷ προανάρχῳ αὐτοῦ πατρὶ
καὶ τῷ παναγίῳ
συνδοξαζόμενον πνεύματι,
Μαρία Θεοτόκε,
διὰ σπλάγχνα ἐλέους
χρηματίσαι υἱόν σου θελήσαντα.

Ὠδὴ πέμπτη. Ἵνα τί με ἀπώσω

Τριαδικόν

Ἀπὸ ῥίζης στελέχη
δύο τεθηλότα καλὸν ἀνεφύησαν,
ἐξ ἡλίου ἄλλοι
διφαεῖς συνανήφθησαν ἥλιοι
τοῦ πατρὸς ὁ λόγος καὶ πνεῦμα, ὧν ταῖς φρυκτωρίαις
ἐλλαμφθείην τὸν νοῦν ὁ ἀσύνετος.

Heirm. ε′ EE 219, n. 314, Joannis
287 ἐλλαμφθείην D: ἐλλαμφθείς μου V

280 Lu. 1: 78

Δεσποτικόν

Σέ, τὸν ἄκτιστον λόγον,
φύσιν τὴν κτιστὴν συμπαθῶς περιθέμενον,
δυσωπῶ, τὸ κτίσμα
μὴ ἐάσῃς τὸ σόν με πλανώμενον
ὑποθήκαις, δόλοις τοῦ πονηροῦ κτίσματος ὄντως
καὶ δραπέτου δεινοῦ κοσμοκράτορος.

Τῶν ἀσωμάτων

Ὕμνοις ἐνδελεχέσι
τὴν πανυπερύμνητον φύσιν γεραίροντες,
Σεραφίμ, δυνάμεις,
Χερουβὶμ καὶ ἀρχαί, κυριότητες,
ἐξουσίαι, θρόνοι σὺν ἀρχαγγέλοις καὶ ἀγγέλοις,
F. 140
τῆς ἡμῶν οὐθενότητος μέμνησθε.

Τῶν ἁγίων

Νόμοις θείοις ὑπείκειν
τὸν παρανομοῦντα με νῦν ἐνισχύσατε,
ὁ τοῦ νόμου μέσος
καὶ τῆς χάριτος, μέγιστε Πρόδρομε,
σὺν προφήταις θείοις καὶ ἀποστόλοις, ἱεράρχαις
καὶ μαρτύρων χοροῖς καὶ ὁσίων ὁμοῦ.

Θεοτοκίον

Τὴν ἀθάνατον φύσιν
ἡ θνητὴ παρέδραμεν εἰς ἁγιότητα
καὶ παρθένος κόρη
τοὺς ἀσάρκους ἀγγέλους παρήλασεν,
ὡς Θεὸν τεκοῦσα τὸν βασιλέα τῶν ἀγγέλων,
ᾧ προσβλέπειν ἐκείνοις ἀδύνατον.

Ὠδὴ ἕκτη. Ἄβυσσος ἁμαρτιῶν

Τριαδικόν

Ὅλβιος, ὃς ἀτρεμεῖ
νοὸς ὄμματι ἰδεῖν ἠδυνήθη
τὴν τριφεγγῆ ἀκτῖνα
καὶ τὸ κάλλος τὸ ἄρρητον,
συμμορφούμενος αὐτῷ

Heirm. ς′ EE 222, n. 318, Joannis

291 Mat. 18: 12 **293** Eph. 6: 12

www.tezaurliturgic.ro

καὶ ἐλλαμπόμενος ὡς ἐντεῦθεν
θεοειδὴς ὅλος γνωρίζεσθαι.

Δεσποτικόν
Ἵλεων ὁ συμπαθὴς
ἐπιβλέψας τῇ ἐμῇ ταπεινώσει,
ταλαιπωρίας λάκκου
καὶ πηλοῦ παραπτώσεων
ἀνελκύσας μου τὸν νοῦν,
στήριξον πέτρᾳ τῆς ἀπαθείας,
οὗ τῷ σταυρῷ πέτραι ἐρράγησαν.

Τῶν ἀσωμάτων
Σέλας τὸ τρισσοφεγγὲς
ἀκλινέσιν ὀφθαλμοῖς δεδορκότες
οἱ Σεραφίμ, δυνάμεις,
Χερουβίμ, κυριότητες,
ἐξουσίαι καὶ ἀρχαί,
θρόνοι, ἀρχάγγελοι σὺν ἀγγέλοις,
δεύτερα φῶτα χρηματίζουσιν.

Τῶν ἁγίων πάντων
Ἄγγελος ἐπὶ τῆς γῆς
ἐχρημάτισας, σοφὲ Ἰωάννη·
διὸ τοὺς ἀποστόλους,
ἱεράρχας καὶ μάρτυρας
καὶ ὁσίους προσλαβὼν
σὺν τοῖς προφήταις καὶ ἅπασι τοῖς δικαίοις,
ὑπὲρ ἡμῶν πρεσβείαν ποίησαι.

Θεοτοκίον
Γέρας τοῦτο ἐκ Θεοῦ
τοῖς ἐν βίῳ καθαρθεῖσι τελείῳ,
μαρμαρυγῇ ἀΰλῳ
τὴν καρδίαν ἐλλάμπεσθαι
τοῦ φωτὸς τοῦ νοητοῦ·
οὗ μετασχεῖν μοι, θεογεννῆτορ,
τῇ σῇ πρεσβείᾳ μόνη δώρησαι.

318 ὅλος D: ὁ λόγος V **338** an ἅπασι metri causa expungendum est?
339 ποίησαι D: ποιῆσαι V

320 Lu. 1: 48 **321** Ps. 39: 2 **325** Mat. 27: 51 **333** Mat. 11: 10

F. 141v
Κάθισμα. Ἦχος πλάγιος δ'.
Τὴν σοφίαν καὶ λόγον ἐν σῇ γαστρί

Ἀσωμάτων ἀγγέλων θεία πληθύς,
παλαιᾶς ὁ μεσίτης καὶ τῆς καινῆς,
ἀπόστολοι ἔνδοξοι,
πατριάρχαι καὶ δίκαιοι,
τῶν προφητῶν ὁ σύλλογος,
μαρτύρων τὰ τάγματα,
ἱεραρχῶν ὁ δῆμος
καὶ ἱερομάρτυρες,
ὅσιοι καὶ πᾶσαι
γυναικῶν αἱ χορεῖαι
ἀνδρείως ἀσκήσασαι
καὶ γενναίως ἀθλήσασαι,
ἐκτενῶς νῦν ἅπαντες
μετὰ τῆς Θεοτόκου πρεσβεύσατε Χριστῷ τῷ Θεῷ
σωθῆναι τὰς ψυχὰς ἡμῶν,
τῶν εἰς ὑμᾶς ὁλοψύχως προστρεχόντων.

F. 140
Ὠδὴ ἑβδόμη. *Θεοῦ συγκατάβασιν*

Τριαδικόν
Ἰδὼν σε τυπούμενον
τρισὶν ἀγγέλοις τὸν ἐν Τριάδι Θεόν,
F. 140v
Ἀβραὰμ προσεκύνει
Κύριον ἕνα τὸν ὁραθέντα καλῶν·
διὸ τῇ φαύλῃ
τῆς ψυχῆς οἰκίᾳ μου
κἀγὼ ξενίσαι σε νῦν ἐκδυσωπῶ, ὁ Θεός.

Δεσποτικόν
Ὁ πάθος μακάριον
τὸ ἀπαθείας πρόξενον ἀνασχόμενος,
τὴν καρδίαν μου πεῖσον

Heirm. cath. MR I 9 Me cathisma post odem nonnam scripsit in D, sed in marg. f. 141v haec notavit: «Εἰς τὴν Ζ». Idem troparium post odem sextam ut debet esse scriptum invenitur in V
Heirm. ζ' EE 219, n. 314, Joannis

363-366 Ge. 18: 1-18

www.tezaurliturgic.ro

τῷ σῷ προσπάσχειν ἔρωτι καὶ ἀπέχεσθαι
τῶν παθημάτων
τῆς σαρκὸς καὶ ὄνομα
τὸ σὸν ἀεὶ μελετᾶν ἐγρηγορότι νοΐ.

Τῶν ἀσωμάτων

Ἱλάσθητι, Κύριε,
ἱλάσθητί μοι διὰ τῶν σῶν λειτουργῶν,
Σεραφίμ, Χερουβίμ τε
κυριοτήτων, θρόνων, δυνάμεων
ἐξουσιῶν τε,
ἀρχῶν ἀρχαγγέλων τε
καὶ τῶν ἀγγέλων, ὧν ἄρχει Μιχαὴλ Γαβριήλ.

Τῶν ἁγίων πάντων

Συνήφθητε τάγμασι
τοῖς ἀσωμάτοις θεῖοι ἀπόστολοι,
ἱεράρχαι, προφῆται,
μαρτύρων στίφη καὶ ἀσκητῶν οἱ χοροὶ
καὶ τῶν ἁγίων
γυναικῶν συστήματα
σὺν τῷ Προδρόμῳ, Χριστὸν ἐξιλεούντες ἡμῖν.

Θεοτοκίον

Ἰδού, *παναμώμητε,*
ἐλπίδος πάσης ἐκτὸς γεγένημαι
ἀγαθῆς· οἱ γὰρ φίλοι
καὶ οἱ πλησίον με ἐγκατέλιπον,
αὐτὴ δὲ μόνη
ἀρωγὸν ἐξ ὕψους μοι
τὴν κραταιάν σου νῦν χεῖρα ἐξαπόστειλον.

Ὠδὴ ὀγδόη. Ἐπταπλασίως κάμινον

Τριαδικόν

Λόγῳ Κυρίου *πέπηγεν*
ἡ οὐράνιος δίνησις,
περιστρεφομένη κυκλικαῖς ἑλίξεσι
καὶ πνεύματι στόματος

Heirm. η′ EE 219, n. 314, Joannis

393-394 Ps. 37: 11-12 **397** Ps. 143: 7 **398-399** Cfr. Ps: 32: 6; Ge. 1: 6

πᾶσα ἡ τούτων δύναμις
ἔσχηκε τὸ εἶναι καὶ κινεῖσθαι καὶ μένειν·
διὸ τὴν βασιλίδα
καὶ αἰτίαν ἁπάντων
τριάδα μεγαλύνων,
αἰτῶ πταισμάτων λύσιν.

Δεσποτικόν

Ἴδε *τὴν θλῖψιν, ἴδε μου*
τῆς ψυχῆς τὴν κατήφειαν
καὶ τὴν τῆς καρδίας συνοχὴν καὶ κάκωσιν,
ἣν μοι προεξένησεν
ἁμαρτημάτων, Λόγε, πληθύς,
καὶ ἐπικουρίαν ἐξ ἁγίου παράσχου,
ὁ σάρκα φιλανθρώπως
περιθέσθαι θελήσας
καὶ πάθη ὑπομεῖναι
καὶ θάνατον, οἰκτίρμον.

F. 141 *Τῶν ἀσωμάτων*

Τὸν ὑψηλὸν ἀμφέποντες
θεῖον θρόνον, ὑπέρτατοι
θρόνοι, Σεραφὶμ καὶ Χερουβίμ, δυνάμεις τε
ἀρχαί, κυριότητες
καὶ ἐξουσίαι αἱ ἱεραὶ
σὺν τοῖς ἀρχαγγέλοις καὶ ἀγγέλοις, τῷ κτίστῃ
πρεσβείαν φιλανθρώπως
προσαγάγετε ἅμα
τῷ θείῳ Ἰωάννῃ
ὑπὲρ παντὸς τοῦ κόσμου.

Τῶν ἁγίων πάντων

Ἀγαλλιᾶσθε, *δίκαιοι·*
ἐν Κυρίῳ ἡ αἴνεσις·
πρέπει γὰρ ὑμῖν, τοῖς ἀληθῶς εὐθέσι τὸν νοῦν,
ἀπόστολοι, μάρτυρες
καὶ ἱεράρχαι καὶ ἀσκηταί,
ὅσιοι καὶ δίκαιοι καὶ πάντες προφῆται
σὺν γυναιξὶν ἁγίαις·

413 ἐπικουρίαν D: ἐπικουρίας V

402 Ps. 32: 6 **408-410** Ex. 3: 7; Nu. 11: 15 **413** Cfr. Ps. 19: 2
428-430 Ps. 32: 1

www.tezaurliturgic.ro

435 *ἀλλὰ τοῦτον τὸν ὕμνον*
ἵλεῳ δεδεγμένοι
σώσατε τὸν ὑμνοῦντα.

Θεοτοκίον *Ζωῆς προσκαίρου δότειρα*
τοῖς ἀνθρώποις καθέστηκε
440 *πνεύματος λεπτοῦ καὶ καθαροῦ μικρὰ εἰσπνοή,*
ἐμοὶ δὲ τὸ ὄνομα
τὸ τοῦ υἱοῦ σου, δέσποινα,
γένοιτο καρδίας φλεγομένης ἠδύτης,
ἀνάψυξις καὶ δρόσος,
445 *γλυκασμός, εὐφροσύνη,*
πνοή, ζωὴ καὶ τέρψις
καὶ φῶς καὶ θυμηδία.

Ὠδὴ ἑνάτη. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός

Τριαδικόν *Ὦ θεία καὶ σεβάσμιε μοι τριάς,*
τὸ μελέτημά τε καὶ καλλώπισμα
450 *σὺ τὸ ἐμόν,*
σῴζοιό μοι βίου διὰ παντὸς
καὶ σῴζεις ἐν τῷ μέλλοντι
εἰς τὴν ἐπουράνιόν με ζωήν,
εἰς θείας καταπαύσεις,
455 *εἰς τὰς σκηνὰς δικαίων,*
εἰς αἰωνίαν ἀγαλλίασιν.

Δεσποτικόν *Μεγάλων ἠξιώθημεν δωρεῶν*
ἡ κατάκριτος φύσις καὶ ἔκπτωτος
διὰ τῆς σ ῆς,
460 *λόγε, ἀπορρήτου καὶ θαυμαστῆς*
οἰκονομίας, δέσποτα·
διό με μεγάλων ἁμαρτιῶν
καθάρας μετανοίᾳ,
μεγάλων χαρισμάτων
465 *ὡς μεγαλόδωρος ἀξίωσον.*

Heirm. θ′ EE 220, n. 314, Joannis **457** ἠξιώθημεν D: ἠξίωμαι V

454 Ps. 94: 11 **455** Ps. 117: 15

Τῶν ἀσωμάτων *Ἀΰλων ἀσωμάτων παρεμβολαί,*
Σεραφίμ, Χερουβὶμ πολυόμματα,
θρόνοι, ἀρχαί,
δυνάμεις, ἐξουσίαι πανευκλεεῖς
470 *καὶ θεῖαι κυριότητες,*
ἄγγελοι, ἀρχάγγελοι, τῷ Θεῷ
πρεσβεύσατε ζωῆς με
καὶ θείας βασιλείας
καταξιῶσαι τὸν ἀνάξιον.

F. 141ᵛ 475 *Ῥεόντων ἀλογήσας βίου τερπνῶν*
Τοῦ *ἐν ἐρήμοις ηὐλίσθης, ἀοίδιμε,*
Προδρόμου *σωματικῶς,*
τῷ θεαυγεστάτῳ δὲ λογισμῷ
τὴν οὐρανίαν ἄντυγα
480 *διασχών, ἀγγέλοις συνηριθμοῦ*
μεθ᾽ ὧν τὸν βαπτισθέντα
ἐν Ἰορδάνῃ λόγον
ὑπὲρ ἐμοῦ δυσώπει, Πρόδρομε.

Τῶν ἀποστόλων *Κατ᾽ ἴχνος με βαδίζειν ὅλῳ ποδὶ*
485 *τῆς ὑμῶν ὁδηγίας ἰθύνατε,*
οἱ ὁδηγοὶ
τῶν πεπλανημένων μύσται Χριστοῦ,
καὶ τὴν ὁδὸν τὴν ἄγουσαν
εἰς τὰς αἰωνίους ἐκεῖ μονὰς
490 *ἀπρόσκοπον ὁδεύειν,*
ἀκλόνητον ἰέναι
καὶ ἀσφαλῆ καταξιώσατε.

Τῶν ἁγίων πάντων *Ὁ πρῶτος τὸ σὸν αἷμα διὰ Χριστὸν*
ἐκκενώσας, μακάριε Στέφανε,
495 *σὺν τοῖς λοιποῖς*
μάρτυσι, προφήταις, ἱερουργοῖς
καὶ τῶν ὁσίων τάγμασι

484 Cfr. I Pe. 2: 21 **489** Cfr. Jno. 14: 2 **493-494** Ac. 7: 58-60

www.tezaurliturgic.ro

πάντων τε δικαίων καὶ γυναικῶν
ἁγίων ταῖς χορείαις
καὶ ἱερομαρτύρων
ὑπὲρ ἡμῶν πρεσβείαν στήσασθε.

Θεοτοκίον Σωτήριος γενοῦ μοι πύργος, ἁγνή,
τῶν δαιμόνων ἀπείργουσα φάλαγγας
καὶ πειρασμῶν
ὄχλον καὶ κινδύνων τῇ καρτερᾷ
σοῦ προβολῇ διώκουσα
καὶ περιφυλάττουσά μου τὸν νοῦν
ἐν μάχῃ στρατηγέτην,
ἐν ζάλῃ κυβερνήτην,
ἐν τοῖς ἀγῶσιν ἀκατάβλητον.

*

* *

203 Ge. 41: 58 **204-207** Ex. 17: 11 **210-213** Ps. 84: 11-12

ΚΑΝΟΝΕΣ ΟΚΤΩΗΧΟΙ

XXII. *Κανόνες παρακλητικοὶ κατὰ τῶν ὀκτὼ γενικῶν λογισμῶν*

F. 85v *Γίγαντες ὀκτὼ τῆς δρακοντείας κάρας*
εἰς οὐρανὸν πέμπουσιν ἐκτόπους λόγους·
ἀλλ' ὁ κραταιὸς οὐρανοῦ καὶ γῆς ἄναξ,
σύντριψον αὐτῶν τὰς ὀλεθρίους κάρας.

F. 86 **XXIIa. *Κανὼν αος κατὰ γαστριμαργίας, οὗ ἡ ἀκροστιχίς·***
Τῆς ἀλόγου ῥῦσαι με δεσποίνης, Λόγε, τὸν σὸν Μάρκον.

Γαστρὸς κρατεῖν σπούδαζε τῆς ψυχοκτόνου
κακῶν τε μητρὸς καὶ καλῶν ἀποφράδος.

Ὠδὴ πρώτη. Ἦχος α'. *Σοῦ ἡ τροπαιοῦχος δεξιά*

Τῆς *ἐν παραδείσῳ γλυκερᾶς*
διαγωγῆς ἐκπεσὼν ὁ ταλαίπωρος,
πάθεσι δεδούλωμαι
καὶ ἡδοναῖς ἀλόγοις ἐνηδύνομαι,
τῇ πικρᾷ δεσποίνῃ
γαστρὶ τελῶν ἀπαραίτητα.

Ἡ *τῆς κατακρίσεως ἀρχὴ*
καὶ τοῦ θανάτου τῷ γένει παραίτιος,
γαστὴρ ἡ ἀρχέκακος,
ἡ τοὺς γενάρχας δυσκλεῶς ἡττήσασα·
βλέπε οὖν, ψυχή μου,
καὶ προφυλάττου τὸν ὄλισθον.

Tit. Τοῦ αὐτοῦ κανόνες ὀκτὼ παρακλητικοὶ κατὰ τῶν ὀκτὼ γενικῶν λογισμῶν R. Epigr. primum Je om. in R. Epigr. ad canonem α' in marg. inferiore f. 86 cod. D et p. 942 cod. R scriptum est
Heirm. α' EE 1, n. 1, Joannis

1-2 Ge. 3: 23 **7-10** Ge. 3: 1-7

www.tezaurliturgic.ro

πάντων τε δικαίων καὶ γυναικῶν
ἁγίων ταῖς χορείαις
καὶ ἱερομαρτύρων
ὑπὲρ ἡμῶν πρεσβείαν στήσασθε.

Θεοτοκίον Σωτήριος γενοῦ μοι πύργος, ἁγνή,
τῶν δαιμόνων ἀπείργουσα φάλαγγας
καὶ πειρασμῶν
ὄχλον καὶ κινδύνων τῇ καρτερᾷ
σοῦ προβολῇ διώκουσα
καὶ περιφυλάττουσά μου τὸν νοῦν
ἐν μάχῃ στρατηγέτην,
ἐν ζάλῃ κυβερνήτην,
ἐν τοῖς ἀγῶσιν ἀκατάβλητον.

*

* *

203 Ge. 41: 58 204-207 Ex. 17: 11 210-213 Ps. 84: 11-12

ΚΑΝΟΝΕΣ ΟΚΤΩΗΧΟΙ

XXII. Κανόνες παρακλητικοὶ κατὰ τῶν ὀκτὼ γενικῶν λογισμῶν

F. 85v *Γίγαντες ὀκτὼ τῆς δρακοντείας κάρας*
εἰς οὐρανὸν πέμπουσιν ἐκτόπους λόγους·
ἀλλ' ὁ κραταιὸς οὐρανοῦ καὶ γῆς ἄναξ,
σύντριψον αὐτῶν τὰς ὀλεθρίους κάρας.

F. 86 **XXII[a]. Κανὼν α[ος] κατὰ γαστριμαργίας, οὗ ἡ ἀκροστιχίς·**
Τῆς ἀλόγου ῥῦσαι με δεσποίνης, Λόγε, τὸν σὸν Μάρκον.

Γαστρὸς κρατεῖν σπούδαζε τῆς ψυχοκτόνου
κακῶν τε μητρὸς καὶ καλῶν ἀποφράδος.

Ὠδὴ πρώτη. Ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος δεξιά

Τῆς ἐν παραδείσῳ γλυκερᾶς
διαγωγῆς ἐκπεσὼν ὁ ταλαίπωρος,
πάθεσι δεδούλωμαι
καὶ ἡδοναῖς ἀλόγοις ἐνηδύνομαι,
τῇ πικρᾷ δεσποίνῃ
γαστρὶ τελῶν ἀπαραίτητα.

Ἡ τῆς κατακρίσεως ἀρχὴ
καὶ τοῦ θανάτου τῷ γένει παραίτιος,
γαστὴρ ἡ ἀρχέκακος,
ἡ τοὺς γενάρχας δυσκλεῶς ἡττήσασα·
βλέπε οὖν, ψυχή μου,
καὶ προφυλάττου τὸν ὄλισθον.

Tit. Τοῦ αὐτοῦ κανόνες ὀκτὼ παρακλητικοὶ κατὰ τῶν ὀκτὼ γενικῶν λογισμῶν R. Epigr. primum Je om. in R. Epigr. ad canonem α' in marg. inferiore f. 86 cod. D et p. 942 cod. R scriptum est
Heirm. α' EE 1, n. 1, Joannis

1-2 Ge. 3: 23 7-10 Ge. 3: 1-7

www.tezaurliturgic.ro

Σύ, διὰ νηστείας ὑποβὰς
πρὸς τὸ ἀνθρώπινον, ἔδωκας πάροδον
τῷ ἐπηρεάζοντι
σοὶ προσβαλεῖν, ὑποδεικνύων, εὔσπλαγχνε,
τρόπους ἡμῖν νίκης
καὶ τοὺς στεφάνους κοινούμενος.

Ἁπλήστῳ τῇ γνώμῃ πλάτει γῆς
τὸν ἀδελφὸν τοσούτῳ διαιτώμενον
βλέπειν οὐκ ἠνείχετο
ὁ τῷ Θεῷ τὰ δεύτερα θυόμενος
Κάϊν ὁ διώκτης,
ἀλλ' ἐπιθέμενος ἔκτεινε.

Θ. Λέοντος ἁπλήστου τῆς γαστρὸς
ὠρυομένης δεινῶς με ἐξάρπασον,
ἡ τῷ ζωηφόρῳ σου
τόκῳ τοῦ Ἅδου τὴν γαστέρα ῥήξασα,
πάναγνε Μαρία,
τῶν ἐγκρατῶν ἡ παράκλησις.

Ὠδὴ τρίτη. *Στερεωθήτω ἡ καρδία μου*

Ὁ τὸν ἀρχέκακον τρεψάμενος
τῷ ἀρχαίῳ ὅπλῳ προσβάλλοντα
καὶ τὴν τῶν λίθων ἀναιδῶς
εἰς τοὺς ἄρτους προτείνοντα
μεταποίησιν, αὐτοῦ με τῆς κακίας ἐκλύτρωσαι.

Γέλωτα Νῶε πικρὸν ὤφλησε,
γυμνωθεὶς τῷ Χὰμ ἀκρασίᾳ γαστρός·
σὺ δὲ τῆς χάριτος, ψυχή,
γυμνουμένη, τοῖς δαίμοσιν
ἀναισθήτως εἰς κατάγελων καὶ χλεύην προτέθεισαι.

Heirm. γ' EE 12, n. 16, Andreae

13-16 Mat. 4: 2-3 **19-24** Ge. 4: 4-8 **25-26** I Pe. 5: 8
31-35 Mat. 4: 3; Lu. 4: 3 **36-37** Ge. 9: 21-22

Ὁ τοῖς κριθίνοις ἄρτοις χρώμενος
εἰς τροφὴν τῶν ὄχλων, φιλάνθρωπε,
καὶ ἐν ἐμοὶ θαυματουργῶν
τὴν φιλήδονον ὄρεξιν
ἀναστείλας, τῶν ἐν χρείᾳ μόνων γίνεσθαι ποίησον.

Ὑπὸ πολλῆς ἀκρατιζόμενος
ἀλογίας, φεῦ, ὁ πρωτοτόκος
μιᾶς ἀπέδοτο τροφῆς
τὴν τιμὴν τῷ πτερνίσαντι·
F. 86v καὶ αὐτὸς δὲ οὐ συνίημι τιμῆς, ἧς ἠξίωμαι.

Θ. Ῥάβδος ἰσχύος ἡ βλαστήσασα
τὸν τροφέα πάσης τῆς κτίσεως,
τὴν τυραννοῦσαν ἐν ἐμοὶ
τῆς γαστρὸς ἡδυπάθειαν
καταργήσασα τῇ ῥάβδῳ τῆς πρεσβείας σου σύντριψον.

Ὠδὴ τετάρτη. *Ὄρος σε τῇ χάριτι τῇ θείᾳ κατάσκιον*

Ὕψους, οὗ ἠξίωμαι, καὶ δόξης καὶ χάριτος
ἐπιλαθόμενος, εἰς γῆν
ὅλος συγκέκυφα, δεινῶς
τῇ γαστρὶ δουλούμενος·
ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ διὰ ἔλεον,
ὡς ἐπηγγείλω κἀμὲ συνανέλκυσον.

Σέβας τοῦ Θεοῦ μεταμαθεῖν παρεσκεύασεν
ἐν τῇ ἐρήμῳ δυστυχῶς
τοὺς Ἰουδαίους ἡ γαστήρ·
φαγεῖν γὰρ καθίσαντες
ἐξαναστάντες ἔπαιζον τὴν ἀσέβειαν·
φεῦγε, ψυχή, τοῦ κακοῦ τὴν ὁμοίωσιν.

Heirm. δ' EE 1, n. 1, Joannis

41-42 Jno. 6: 9-13 **48-49** Ge. 2: 1-30 **50** Ps. 48: 13-21
51-52 Nu. 17: 20-23 **52** Ez. 19: 11-14 **55** Ps. 2: 9
60 Cfr. Jno. 3: 14 **62-66** Ex. 32: 6

www.tezaurliturgic.ro

Ἄλογον, ἀναίσχυντον, ἐπίπλαστον πάθημα
κατακρατεῖ μου, Ἰησοῦ
κεκορεσμένος γὰρ πεινᾶν
ἠγοῦμαι ὁ δείλαιος
καὶ ὡς ἀσκὸς ῥηγνύμενος οὐκ ἐνδίδωμι·
σύστειλον αὐτὸς τὴν τοῦ δεινοῦ προκοπήν.

Ἵνα τῷ λαῷ νόμος δοθῇ, τεσσαράκοντα
μέτρον νηστείας ἡμερῶν
νενηστευκώς ὁ Μωϋσῆς,
σοί, ψυχή, προδείκνυσιν
ὡς ἐν πλαξὶ καρδίας νόμον θεόγραφον,
εἰ μὴ κρατήσεις γαστρός, οὐκ ἂν δέξαιο.

Θ. Μέγα τὸ μυστήριον τῆς σῆς τελειώσεως·
τοῖς γὰρ ἀδύτοις τοῦ ναοῦ
προσκαρτεροῦσα, τὴν τροφὴν
οὐρανόθεν, ἄχραντε,
διὰ χειρὸς ἀγγέλου Θεοῦ ἐλάμβανες,
ἡ τὸν οὐράνιον ἄρτον ὀμβρήσασα.

Ὠδὴ πέμπτη. Ὁ φωτίσας

Ἐπὶ ξύλου
προσπαγείς, Ἰησοῦ μου, φονώσαις χερσὶν
ἐποτίσθης
τὴν ἐν ὄξει χολὴν κερασθεῖσαν πικρῶς·
τούτοις ἀποκάθαρον,
ἐναποκτείνας μου τοῖς σπλάγχνοις
γαστριμαργίας τοὺς ἕλμινθας.

Διανοίᾳ
μοχθηρᾷ πρὸς τὴν Αἴγυπτον ἔβλεπον,
μεμνημένοι
τῶν κρεῶν τῶν λεβήτων οἱ δύστηνοι

Heirm. ε′ EE 1, n. 1, Joannis

81-84 Tischendorf, Evang., 15 86-89 Mat. 27: 34 93-96 Ex. 16: 3

μετὰ τόσα θαύματα
παῖδες Ἑβραίων ἐν ἐρήμῳ,
ὅθεν ἐκεῖ κατεστρώθησαν.

Ἑορτάζων
ἐν τρυφῇ καὶ ποικίλοις ἐδέσμασιν,
ἀκολούθως
καταφέρομαι ὕπνῳ βαθεῖ νεκρωδῶς
φάσμασι σπιλούμενος·
F. 87 ὅθεν αἰώνιον με πένθος
ἐκεῖ λοιπὸν διαδέξεται.

Συναφείας
τῆς πρὸς σάρκα, ψυχή, τὴν διάλυσιν
μελετῶσα,
τὴν ἐνήδονον θρύψιν βδελύχθητι
καὶ τοῦ μάννα τρύφησον
τοῦ ἀκηράτου, θεῖον λόγον,
τροφὴν ἀγγέλων ἐσθίουσα.

Θ. Πάρεσό μοι
τῆς τροφῆς ἀρχομένῳ καὶ λήγοντι,
παναγία
Θεοτόκε ἁγνὴ ἀειπάρθενε,
τὰς ὁρμὰς ἐγκόπτουσα
τῆς τυραννούσης με μαινάδος
μνήμῃ τῆς σῆς ἁγιότητος.

Ὠδὴ ἕκτη. Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος

Ὁ μέγιστος κριτὴς Σαμψὼν ἀπέχεσθαι
τρυφῆς αἱρετισάμενος,
ἀνηρεῖτο κατ᾽ ἐχθρῶν περιφανῆ
τρόπαια· καὶ σύ, ψυχὴ ταλαίπωρε,
κατὰ παθῶν ἰσχύσεις, πρώτης γαστρὸς κρατήσασα.

Heirm. ς′ EE 1, n. 1, Joannis

110 θρύψιν Me in D: θλύψιν R

99 Nu. 14: 16 111 Ex. 16: 35 121-124 Jd. 13: 13-14

www.tezaurliturgic.ro

Ἰλίγγους καὶ σκοτώσεις ἀναπέμπουσα
γαστὴρ κεκορεσμένη τροφῶν,
διακόπτει τὰς ἐλλάμψεις ἐναργῶς
τὰς ἐπὶ τὸν νοῦν τοῦ θείου πνεύματος·
εἰκότως οὖν κἀγὼ σκοτοῦμαι καὶ παραφέρομαι.

Νεώνητον γαστρὸς οἰκτρὸν ἀνδράποδον
ὁ τάλας ἐχρημάτισα·
ἐξαγόρασον αἱχμάλωτον ψυχήν,
ὁ διὰ σταυροῦ σου καὶ τοῦ αἵματος
τῆς νομικῆς ἡμᾶς κατάρας ἀπολυσάμενος.

Ἡ τάλαινα τοὺς παναθλίους ἔπεισε
φρενοβλαβῶς λιχνεύεσθαι
ταῖς θυσίαις τὸν Ὀφνεὶ καὶ Φινεές·
ὅθεν τὴν ὀργὴν Θεοῦ ἀνάψαντες
καθ' ἑαυτῶν καὶ τοῦ λαοῦ παντὸς συνεκίνησαν.

Θ. Σαγήνῃ πρεσβειῶν σου, παναμώμητε,
ζωγρήσασα, ἀνέλκυσον
τὸν νηχόμενον ἐν ὕδασί μου νοῦν
τῆς ἡδυπαθοῦς καὶ ὑδατώδους ζωῆς
καὶ τοῖς καλοῖς ὀπτῶσα ἄνθραξιν ἐπισκεύασον.

Κάθισμα. Τὸν τάφον σου, σωτήρ,

Τὸ ξύλον τῆς ζωῆς,
ἔμπλησόν με πεινῶντα,
τὸ μάννα τῆς τρυφῆς,
ἴασαί μου τὴν δίψαν,
ὁ ζῶν ἄρτος, Κύριε,
τὴν καρδίαν μου στήριξον
ἐπιθέσεσι

Heirm. cath. ER 226

134 Cfr. Ga. 3: 10-13 **135** De. 27: 26 **136-140** I Ki. 2: 12-17; 31-34
141 Cfr. Mat. 13: 47 **146** Ge. 2: 17 **148** Ex. 16: 35
150 Jno. 6: 35, 48, 52 **151** Ps. 103: 15

τοῦ πονηροῦ στροβουμένην
καὶ ἀξίωσον
ἐλευθερίας ἀέρα
γλυκὺν σπᾶσαι, δέομαι.

F. 87v ***Ὠδὴ ἑβδόμη. Σὲ νοητήν.***

Λόγε Θεοῦ,
πατρικῆς ἀπαύγασμα
δόξης, ἀπόστησον κἀμὲ
τῆς μερίδος, ὧν ὁ θεὸς
ἡ κοιλία, δόξα τε
αὐτῶν ἡ ἐφύβριστος
ἐν τῇ αἰσχύνῃ, ὡς γέγραπται,
καὶ κληρονόμον τῆς σῆς ἀληθοῦς δόξης ἀνάδειξον.

Ὁ ἐν μιᾷ
τροφῇ τεσσαράκοντα
καταθαρσήσας ἡμερῶν
τὴν ὁδὸν καταλελυκώς,
θεόπτης γεγένηται·
βλέπε τί τὸ ἔπαθλον
τῆς ἐγκρατείας καὶ ζήλωσον
τὸν ζηλωτήν, ὦ ψυχή, καὶ Θεὸν τρανῶς δύνησῃ ἰδεῖν.

Γέρας τοῖς σοῖς
μαθηταῖς, φιλάνθρωπε,
τὴν βασιλείαν τοῦ πατρὸς
διατέθεισαι εὐκλεῶς
ἐπὶ τῆς τραπέζης σου
συνεσθίειν χάριτι·
τῆς οὖν τοιαύτης ἀξίωσον
μυσταγωγίας κἀμέ, καθαρὸν ὅλον γενόμενον.

Ἔγνως, ψυχή,

Heirm. ζ' EE 1, n. 1, Joannis

158-159 He. 1: 3 **160-163** Phi. 3: 19 **165-167** III Ki. 19: 7-8
175-178 Cfr. Mat. 26: 29

www.tezaurliturgic.ro

πῶς προφῆται τρέφονται
καὶ πῶς δὲ τρέφουσιν αὐτοὶ
Ἠλιοὺ καὶ Ἐλισσαιέ·
μὴ οὖν ἔστω πρόφασις
γαστρὶ τὸ φιλόξενον
καὶ ἀκρασίας ὑπόθεσις,
ἀλλὰ τοὺς ὅρους ἀεὶ προσεχῶς μένε φυλάττουσα.

Θ. Τόπος γενοῦ
ὀχυρὸς τοῦ σῶσαι με,
θεογεννῆτορ, καὶ σεπτὸς
θεῖος οἶκος καταφυγῆς
ἐκ προσώπου φεύγοντα
τοῦ ἀμάχου πνεύματος
γαστριμαργίας, εἰσάγουσα
πρὸς νοητὰς καταπαύσεις τρυφήν τε τὴν ἀνώλεθρον.

Ὠδὴ ὀγδόη. Ἐν καμίνῳ παῖδες Ἰσραήλ

Ὁ προφήτης πάλαι Δανιὴλ
ἐγκράτειαν ἀσκήσας
ἠξίωται τῶν μεγάλων ἐκ Θεοῦ θεωριῶν
καὶ λεόντων στόματα χαλινώσας,
ἔμεινε τούτοις ἀνάλωτος· ὡς μέγα
τὸ τῆς ἐγκρατείας καὶ αὐταρκείας χρῆμα.

Νηστείᾳ φραξάμενοι καλῶς,
οἱ περὶ Ἀζαρίαν
ὑπῆλθον τὴν ἐπηρμένην ἑπταπλάσιον πυράν,
δρόσον κομιζόμενοι οὐρανόθεν·
οὓς μὴ ζηλοῦσα, ψυχή μου, τὰς καμίνους τῶν ἀγριωτάτων
παθῶν πῶς κατασβέσεις;

Σηπεδόνας τῶν ἀνομιῶν
καὶ τραύματα μυδῶντα

Heirm. η′ EE 1, n. 1, Joannis

182 III Ki. 17: 6, 9; 18: 4; 19: 5, 7; Da. Th. 14: 34
183-184 III Ki. 19: 21 **192** Ps. 30: 2 **197-201** Da. 6: 22
203-206 Da. 2: 25-26

ψυχῆς μου ἀποκαθάρας, ἐγγαστρίων ἡδονῶν
ἀνώτερον δεῖξον με, εὐεργέτα,
ἵνα φυλάττων εἰς τέλος τὴν ὑγείαν
τῆς ἐπουρανίου μετάσχω εὐφροσύνης.

F. 88 Οἱ τῶν Μακκαβαίων τλῃπαθεῖς
ἀγῶνες ἐγκρατείας
ὑπόδειγμα τοῖς ζηλοῦσι· τῶν πατρίων γὰρ ἐθῶν
μέχρι καὶ τῆς γεύσεως προμαχοῦντες,
ὤφθησαν πάσαις ἀήττητοι βασάνοις
καὶ τῆς Ἀντιόχου μανίας ὑπερόπται.

Θ. Νεώτερος ἄσωτος υἱός
ἀσώτως δαπανήσας
οὐσίαν τὴν πατρικήν μου, τῆς ἀλόγου νῦν τροφῆς
πεινῶ καὶ εἰς αἴσθησιν μόλις ἥκων,
πάτερ, βοῶ σου· προσπίπτοντά με δέξαι
ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον.

Ὠδὴ ἐνάτη. Τύπον τῆς ἁγνῆς λοχείας σου

Μέλι καὶ ἀκρίδας ἤσθιεν
ὁ βαπτιστὴς ἐν σώματι ὥσπερ ἄϋλος,
διὰ τοῦτο μείζων Ἰωάννου οὐδείς ἐστι
καὶ προφήτου παντὸς περισσότερος·
αὐτοῦ κατ᾽ ἴχνος βαίνειν
κἀμέ, σωτήρ μου, καταξίωσον.

Ἄνω τὴν ἐμὴν διάνοιαν
ἐκ τοῦ γεώδους βάρους ἐξάρας, δέσποτα,
τὰ ἐν οὐρανοῖς διὰ παντὸς ἐνοπτρίζεσθαι
καὶ φαντάζεσθαι κάλλη ἀξίωσον
ὡσὰν τῇ θεωρίᾳ
τῶν ἀϊδίων ἐνευφραίνηται.

Heirm. θ′ EE 1, n. 1, Joannis

215-220 IV Ma. 8: 2-29 **221-223** Lu. 15: 11-32
227-228 Mat. 3: 4; Mar. 1: 6

www.tezaurliturgic.ro

Ῥέων ἡδοναῖς ὁ πλούσιος
καὶ ἀπολαύσει τῶν ῥευστῶν ὑδαρούμενος,
τὴν ἐν τῇ γεέννῃ κατεκρίνετο πύρωσιν
καὶ σταγόνος ἐν χρείᾳ καθίστατο·
φοβοῦ, ψυχή, τὸ δράμα
καὶ τῆς μιμήσεως ἀπόστηθι.

Κλίνας οὐρανοὺς δι' ἔλεον
ἐπὶ τὸ σῶσαι κόσμον καταπεφοίτηκας
καὶ θεοπρεποῦς ἡμῖν ζωῆς ὑποδείγματα
διὰ πάντων προέθηκας, εὔσπλαγχνε,
λιτότητος, ἁγνείας
καὶ καρτερίας καὶ χρηστότητος.

Ὅλην τὴν πυρίπνουν δύναμιν
τοῦ παρακλήτου δώρησαι τῇ καρδίᾳ μου,
κατευμεγεθεῖν τῶν ἡδονῶν ἀναπείθουσαν
καὶ φωτίζουσαν καὶ συνετίζουσαν
καὶ ὅλον με ποιοῦσαν
ἔνθεον ὄργανον τῆς χάριτος.

Θ. Νέος οὐρανὸς γεγένησαι
ἐπὶ τῆς γῆς τοῦ ἄνω πόλου εὐρύτερος·
ὅθεν μου τὸν νοῦν προσηλωμένον ἐκσπάσασα
τῶν γηΐνων, ὑπέραγνε δέσποινα,
τὰ ἄνω καὶ φρονεῖν με
καὶ πραγματεύεσθαι ἀξίωσον.

*

243 δράμα (sic) Me in D

239-242 Lu. 16: 19-24 **252** Cfr. Jno. 14: 16, 26

XXII[b]. Κανὼν βος κατὰ πορνείας, οὗ ἡ ἀκροστιχίς·
Ἐν δευτέροις φύγοιμι τὸν λάγνον κύνα· ἡ ᾠδὴ Μάρκου.

F. 88[v]

Φιληδονεῖν ἔθιζε σαυτὸν τοῖς ἄνω
καὶ μὴ καταχθῇς εἰς ἀκανθώδεις πόθους.

ὨΙδὴ πρώτη. Ἦχος β'. Ἐν βυθῷ κατέστρωσε ποτέ

Ἐν τιμῇ υἱότητος πατρὸς
ἀγαθοῦ γενόμενος,
ἀναισθητῶν οὐ συνῆκα τῆς χάριτος,
παρασυνεβλήθην δὲ
τοῖς ἀλόγοις καὶ ὡμοιώθην σαφῶς αὐτοῖς,
πάθεσι δουλεύων
καὶ τιμῆς αἰσχύνην ἀλλαξάμενος.

Νοεραῖς τρυφῶν ἐπιβολαῖς
Θεοῦ καὶ τῆς κτίσεως,
ἐν παραδείσῳ ὁ Ἀδὰμ γυμνώσεως
σαρκικῆς οὐκ ἤσθετο,
θείᾳ δόξῃ καὶ παρθενίᾳ κοσμούμενος,
παραβὰς δὲ θᾶττον
ἔγνω τὴν γυναῖκα καὶ τὴν γύμνωσιν.

Δέομαί σου, σῶτερ ἀγαθέ,
τῆς σαρκὸς τὰ κύματα
καὶ τὴν παφλάζουσαν ῥύμην ἀνάστειλον,
ὁ ποτὲ τὴν θάλασσαν
μαινομένην καταστορέσας προστάγματι,
καὶ τῆς ἀπαθείας
σταθερὰν γαλήνην μοι χορήγησον.

Ἐφθαρμένην ἔναντι Θεοῦ
τὴν γῆν ἐπεσκέψατο,
ἐπισκοπὴν πονηρὰν καὶ ὀλέθριον,

Heirm. α' EE 34, n. 46, Joannis

1-3 Cfr. Lu. 15, 11-16 **3-5** Ps. 48: 12 **10-11** Ge. 2: 25
13-14 Ge. 3: 10, 20 **18-19** Mar. 4: 39 **22-26** Cfr. Ge. 6: 5; 7: 17-24

www.tezaurliturgic.ro

κατακλύσας ἅπαντας
τοὺς κτηνώδει καὶ σαρκικῇ ζωῇ χαίροντας·
βλέπε, ὦ ψυχή μου,
τῆς ἀκολασίας τὰ ἐπίχειρα.

Θ. Ὑπερτέρα πέφηνας, ἁγνή,
πάσης ἀοράτου τε
καὶ ὁρατῆς, ἀειπάρθενε, κτίσεως·
τὸν γὰρ κτίστην τέτοκας,
ὡς εὐδόκησε σαρκωθῆναι ἐν μήτρᾳ σου
ᾧ σὺν παρρησίᾳ
πρέσβευε σωθῆναι τοὺς ὑμνοῦντας σε.

Ὠδὴ τρίτη. Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας

Τὸ λάγνον τὸ τῆς πόρνης ἐμιμησάμην,
τὴν ῥύσιν τῆς αἱμόρρου παρεδεξάμην,
τὴν πίστιν Χαναναίας οὐκ ἐκτησάμην καὶ τὴν ἐπίγνωσιν
οὐκ ἠσπασάμην αὐτῶν·
Ἰησοῦ φιλάνθρωπε, σύ με οἰκτειρον.

Ἐξέκαυσέ μοι φλόγα δεινὴν ὁ πλάνος,
ἐκκαίουσαν θυμὸν τῆς ὀργῆς Κυρίου
ὡς πάλαι ἐπὶ Σόδομα πῦρ καὶ θεῖον·
αὐτὸς τὴν δρόσον μοι τὴν σὴν ἐπίχεε·
ἡ γὰρ σή, φιλάνθρωπε, δρόσος ἵαμα.

Ῥεούσης ἡδονῆς ἐν ἐπιθυμίᾳ
ἀσχέτῳ πρὸς ἀλλότρια κάλλη βλέπων,
τῷ ὄμματι μοιχεύω καὶ τῇ καρδίᾳ
καταχραινόμενος ὁ ἀσυνείδητος·
Ἰησοῦ φιλάνθρωπε, σύ με οἰκτειρον.

Heirm. γ′ EE 38, n. 51, Cosmae

36 Mat. 26: 7 **37** Mat. 9: 20-22
38 Mat. 15: 21-28 **43** Ge. 19: 24 **48** Mat. 5: 28

Ὁ σώφρων Ἰωσὴφ τῆς μιαρωτάτης
F. 89 δεσποίνης τὰς ἀτόπους φυγὼν ὀρέξεις,
στεφάνους ἀνεπλέξατο σωφροσύνης
καὶ ἐβασίλευσεν Αἰγύπτου μίμησαι
τὴν ἐκείνου πρόθεσιν καὶ σπουδήν, ὦ ψυχή.

Θ. Ἰδού, τὸ πολυώνυμον θεῖον ἅρμα,
ἰδού, ὁ χρυσοκόλλητος θεῖος δίφρος,
ἰδού, ἡ πορφυρόστρωτος θεία κλίνη,
ᾗ ἀνεπαύσατο ὁ βασιλεύς μου Χριστός,
ἡ παρθένος δέσποινα, ἣν ὑμνήσωμεν.

Ὠδὴ τετάρτη. Ἑλήλυθας

Συμπαθείᾳ
μοιχαλίδα ποτέ προσαχθεῖσαν σοι,
σῶτερ, οὐ κατέκρινας·
ὡσαύτως, μόνε φιλάνθρωπε,
μὴ καταδικάσῃς μου
τὴν μοιχευθεῖσαν καρδίαν προσβολαῖς τοῦ ἐχθροῦ.

Φόνου μύσος
καὶ μοιχείας Δαβὶδ ἀπεπλύνατο
βοήσας· «ἡμάρτηκα,
ἐλέησόν με, φιλάνθρωπε,
καὶ κατὰ τὸ πλῆθος σου
τῶν οἰκτιρμῶν τὸ ἀνόμημα ἐξάλειψον».

Ὑπέμεινα,
ἐν νυκτὶ καὶ ἡμέρᾳ πρὸς σὲ κεκραγώς,
τῇ πηλῷ μαχόμενος,
τῇ ῥυπαρᾷ καὶ δυσώδει σαρκί·

Heirm. δ′ EE 34, n. 46, Joannis
62 ποτέ προσαχθεῖσαν σοι e correctione Me
51-52 Ge. 39: 7-14 **53-54** Ge. 41: 37-46 **57** De. 17: 18
58 Ca. 3: 7 **61-63** Jno. 8: 7 **69-72** Ps. 50: 1-3 **73-76** Ps. 39: 1

www.tezaurliturgic.ro

σύ με ἐπανάγαγε
ταλαιπωρίας ἐκ λάκκου, πολυέλεε.

Γυναῖκες σε
τὸν σοφώτατον, οἴμοι, κατέσεισαν,
Σολομῶν θαυμάσιε,
καὶ πῶς τῶν σῶν οὐκ ἐμνήσθης φωνῶν·
«φεῦγε ὡς ἐξ ὄφεως
ἀπὸ προσώπου μαχλάδος γυναικός, ὦ υἱέ».

Θ. Ὁ τόκος σου
παρθενίᾳ τετίμηκε γέννησιν,
παρθένε πανάμωμε,
ἵνα ἡμῖν τὸ σεβάσμιον
χρῆμα ὑποδείξειε
τῆς ἐν ἁγνείᾳ ζωῆς καὶ τελειότητος.

Ὠδὴ πέμπτη. Ὁ φωτισμός

Ἴδε, ψυχή,
τὰς ἀρχὰς τοῦ πολέμου καὶ φεῦγε ταύτας·
κόρος γὰρ βρωμάτων καὶ ὁμιλίαι,
ἐν ἀμετρίᾳ πρὸς τὴν ὕλην τοῦ πάθους
μετὰ γέλωτος ἐκτεινόμεναι,
ὕλην αἰωνίῳ πυρὶ ὑπανάπτουσιν.

Μετενεχθεὶς
Ἰσραὴλ ἐξ Αἰγύπτου, ταῖς θυγατράσι
τῶν Μαδιηναίων ἐπιμανέντες,
φόνῳ μαχαίρας παρεδόθησαν, οἴμοι,
καὶ τὴν γῆν, ἣν ὤμοσε Κύριος
τοῖς αὐτῶν πατράσιν ἰδεῖν, οὐκ ἠξίωνται.

Ἴσχυσε νῦν
ἡ κακία συνήθειαν προσλαβοῦσα

Heirm. ε′ EE 34, n. 46, Joannis

77-78 Ps. 39: 2 **79-81** III Ki. 11: 1-3 **83-84** Si. 21: 2
97-100 Nu. 25: 1-6 **101** Ex. 3: 17

ἔξιν μοι δυσέκνιπτον ἐμποιῆσαι·
τῇ προσβολῇ γὰρ ἐμπαθῶς ὁμιλήσας
δι᾽ ἐνηδόνου συγκαταθέσεως,
πράξεσι τὸ ἔθος ὡς φύσιν ἐκράτυνα.

F. 89v Τὸν ἰσχυρὸν
καὶ γεννάδαν ἐκεῖνον δουλωσαμένη
πόρνη, παρεδίδου τοῖς πολεμίοις
Σαμψὼν τὸν μέγαν ἀριστέα, ψυχή μου
βλέπε μήπως καὶ σὺ τὰ ὅμοια
πάθῃς, ἡδοναῖς ἀκολάστοις προσέχουσα.

Θ. Ὁ φωτισμὸς
τῶν ἐν σκότει κειμένων, λάμψον μοι αἴγλην
θείας μετανοίας, τῷ ἐν τῷ σκότει
τῶν παθημάτων καὶ σκιᾷ τοῦ θανάτου
καθημένῳ καὶ κινδυνεύοντι
ταῖς τῆς Θεοτόκου πρεσβείαις, φιλάνθρωπε.

Ὠδὴ ἕκτη. Πρὸς Κύριον ἐκ κήτους ὁ Ἰωνᾶς ἐβόησε

Νοσοῦντα με πρὸς θάνατον καὶ κινδυνεύοντα
πτῶμα ἐξαίσιον
εἰς αἰσχύνην καὶ ἐπίχαρμα
γενέσθαι τοῖς ἐχθροῖς
σύ με ἀνακάλεσαι
ἐκ φθορᾶς τῶν παθῶν μου πρός σέ, ὁ Θεός.

Λεόντειον βρυχᾶται καὶ ὡς εἰς θήραν ἕτοιμος
σκύμνος ὠρύεται
τοῦ ἁρπάσαι ἐκζητῆσαι τε
βρῶσιν παρὰ Θεῷ

Heirm. ς′ EE 39, n. 53, Cosmae **121-124** sententia verbo caret

109-112 Jd. 16: 4-20 **115-116** Cfr. II Co. 4: 6 **117-119** Ps. 106: 10
122 Jb. 18: 12 **123-124** Cfr. Si. 18: 31 **126** Jn. 2: 7
127-130 Ps. 103: 21

www.tezaurliturgic.ro

τῶν παθῶν ὁ δόλιος·
σὺ ὁ μόνος Θεός με τούτου λύτρωσαι.

Ἀγόμενος γυναίου μιαρωτάτου νεύμασι,
προφητῶν αἵμασιν
Ἀχαὰβ τὴν γῆν ἐμίανε·
τοιούτους τοὺς καρποὺς
ὁ τάλας ἐδρέψατο
τῆς ἀτίμου δουλείας καὶ ἔρωτος.

Γεγόνασιν ἐμοὶ καὶ τῆς νυκτὸς τὰ ἐνύπνια
ἀνατυπώματα
τῶν ἡμέρας αἰσχρῶν πράξεων
καὶ φαύλων ἐννοιῶν
καὶ διπλῇ μολύνομαι,
γρηγορῶν καὶ καθεύδων ὁ δείλαιος.

Θ. Νεώσασα ἀρότρῳ τῆς μετανοίας κάθαρον,
θεογεννήτρια,
τὸν γεώδη καὶ παχύτατον
καὶ ἔνυλόν μου νοῦν
καὶ πλουσίως ἔνσπειρον
τὸ γλυκὺ τοῦ υἱοῦ σου θεῖον ὄνομα.

Κάθισμα. *Ὁ εὐσχήμων Ἰωσήφ*

Ὁ νυμφίος τῶν ψυχῶν
τῶν καθαρῶν, υἱὲ Θεοῦ,
σὺ εἶ γλυκύτης ὅλος
καὶ ἔφεσις αὐτὴ
καὶ κάλλος τὸ ἀμήχανον·
τῷ ἔρωτι τῷ σῷ
τρώσας ἀναπτέρωσον
τὴν ἐμπαθῆ ψυχήν μου καταδιώκειν σε,
θερμῶς ἐκφυγοῦσαν ἡδονὰς σώματος.

Heirm. cath. ER 57

156-157 Cfr. Ca. 2: 5; 5: 8 **133-135** III Ki. 20: 5-13

Ὠδὴ ἑβδόμη. Ἀντίθεον πρόσταγμα παρανομοῦντος

Ὁ μόνος φιλάνθρωπος, ὁ φιλανθρώπως
φορέσας τὸν ἄνθρωπον ὑπὲρ ἀνθρώπων, εὔσπλαγχνε,
εἰδὼς τὴν ἀσθένειαν τῆς ἀνθρωπίνης φύσεως
F. 90 δύναμιν χορήγησον ἀρκεῖν
τοῦ παλαμναίου ταῖς ἐπιθέσεσιν.

Νεότητος πταίσματα καὶ ἀφροσύνης
ὁρμήματα ἄτακτα μὴ μνημονεύσῃς, Κύριε,
κατὰ δὲ τὸ ἔλεος τὸ σόν μου μνήσθητι σὺ
ἕνεκεν χρηστότητος τῆς σῆς,
εὐλογημένε καὶ ὑπερένδοξε.

Καλὸν ἐπεισόδιον τοῖς γενεθλίοις,
Ἡρώδης εἰσήνεγκε τὴν κεφαλὴν ἐν πίνακι
τοῦ ἐν ἁγιότητι καὶ παρθενίᾳ λάμψαντος
ὁ γυναιμανής· βαβαὶ τῶν σῶν
ἀκαταλήπτων κριμάτων, Κύριε.

Ὑγρὸν διαρρέοντα βιώσας βίον,
ὡς θῆρα διέθρεψα σαρκὸς μυρμηκολέοντα
καὶ νῦν τὰς συνήθεις με τροφὰς εἰσπράττει πικρῶς·
ἀλλὰ τῷ μὴ ἔχειν τὴν βορὰν
ὁ ἀλιτήριος ἐξαπόλοιτο.

Θ. Νομὴν ἀναστείλασα καὶ σηπεδόνα
τῶν παθῶν μου ξήρανον ἐλαίῳ τῆς πρεσβείας σου,
παρθένε πανάμωμε· τῶν γὰρ νοσούντων δεινῶς
ὀξεῖα βοήθεια σὺ εἶ
καὶ τῶν ἐν θλίψει πάντων ἀνάψυξις.

Heirm. ζ' EE 34, n. 46, Joannis

167-168 Ps. 24: 7 **170-173** Mat. 14: 8-11; Mar. 6: 25-28
176-179 Cfr. Jb. 4: 11

www.tezaurliturgic.ro

Ὠδὴ ὀγδόη. Τὸν ἐν καμίνῳ τοῦ πυρὸς

Ἀποσκοποῦσα μοι, ψυχή,
πρὸς τὴν μέλλουσαν ἐκεῖ ἐκκαλυφθῆναι
θείαν δόξαν ἐκθύμως,
ταῖς προσβολαῖς τοῦ ἐχθροῦ
πολέμει
καὶ νικήσεις χάριτι
τοῦ νενικηκότος
τὸν κόσμον σοῦ δεσπότου.

Ἡ ἐκ τοῦ σώματος ῥοὴ
θύμα δαίμοσιν ἡδὺ μετὰ τοῦ πάθους,
ἡ ῥοὴ τῶν δακρύων
σπονδὴ Θεῷ προσφιλής·
ψυχή μου,
τοῖς δευτέροις ἔκπλυνον
τὰς τῶν προλαβόντων
κηλῖδας δυσεκπλύτους.

Ὥσπερ τις σκώληξ ἐν σαθρῷ
ξύλῳ κέκρυπται δεινῶς τοῖς μέλεσί μου
ἐγκαθήμενος δράκων
ὁ σκολιὸς καὶ πικρός,
ἀτόπους
κινήσεις ποιούμενος,
ὑπογαργαλίζων,
μολύνειν ἐκβιάζων.

Δόλους δαιμόνων καὶ κλοπὰς
ἐπιτήρει μοι, ψυχή, πῶς πρὸ τοῦ πάθους
οἱ ἀπάνθρωποι ὄντως
φιλάνθρωπον τὸν Θεὸν
καὶ πρᾶον
καὶ χρηστὸν τοῖς πταίουσι,

Heirm. η′ EE 35, n. 47, Joannis **194** θύμα (sic) Me in D **211** ὄντως Me in D: οὕτως R

191-192 Jno. 16: 33 **201-202** Pr. 12: 4 **203-204** Cfr. Is. 27: 1 **213** Cfr. Mat. 11: 29

μετὰ δὲ τὸ πτῶμα
ἀσυμπαθῆ καλοῦσιν.

Θ. Ἡ παναγία κιβωτός,
ἡ ἀένναος πηγὴ ἡ ζωοδόχος,
F. 90v ἡ παστάς, ἡ λυχνία,
ἡ ζῶσα κλίνη σεπτή,
ἡ θεία
ῥάβδος ἡ βλαστήσασα,
ἡ καλὴ παρθένος,
σῶσον με, Θεοτόκε.

Ὠδὴ ἐνάτη. Ἀνάρχου γεννήτορος

Μεγάλη καὶ ἄφατος
ἡ βία, ὅτε σώματος
ἡ ψυχὴ διαιρεῖται διασπωμένη πικρῶς·
ταύτης μεμνημένη τῆς ὥρας, ψυχή, πυκναῖς
δακρύων λιβάσι
τοὺς ἄνθρακας σβέννυε
τῶν ἐμπύρων παθῶν, δύστηνε.

Ἀντιστρατευόμενος
τῷ νόμῳ τοῦ ἐμοῦ νοός,
νόμος ἕτερος ἔνδον αἰχμαλωτίζει με
τῷ τῆς ἁμαρτίας ἐν μέλεσί μου δεινῶς
ὑπάρχοντι νόμῳ·
ταλαίπωρος ἄνθρωπος,
τίς με ῥύσεται τοῦ σώματος;

Ῥοῆς εἰμι ἔκγονος,
ῥοή με παραπέμπεται
πρὸς τὸ τέρμα τοῦ βίου, ῥοῆς ἐφίεμαι·
σκώληξ γὰρ τοῦ σκώληκος ὄντως καὶ γῆ τῆς γῆς

Heirm. θ′ EE 35, n. 46, Joannis

217 Ex. 38: 1-8 **219** λυχνία Ex. 38: 13-17 **220** Ca. 3: 7 **221-222** Nu. 17: 8 **231-238** Ro. 7: 21-24

www.tezaurliturgic.ro

ὀρέγεται φύσεν·
Χριστέ, τῆς ἀρρεύστου με
ζωῆς μέτοχον ἀνάδειξον.

Κατ' ἴχνος ὁδεύειν με
τοῦ σοῦ Προδρόμου ποίησον,
Ἀντωνίου καὶ Παύλου, Σάβα, Χαρίτωνος,
τῶν ἐσταυρωμένων τῷ κόσμῳ καὶ τῇ σαρκί,
σῶτερ, ὁ τὰς χεῖρας
ἁπλώσας σταυρούμενος
ἀγκαλίσασθαι τὸν ἄσωτον.

Ὁ κάλλει ἀσύγκριτος
νυμφίος, Ἰησοῦ ὁ Θεός,
ὁπηνίκα κατέλθῃς νυκτὸς ἐν μέσῳ, φαιδρὰν
δός μοι ὑπανάψαι λαμπάδα τῶν ἀρετῶν
καὶ συνεισελθεῖν σοι
εἰς νυμφῶνα δέομαι
τὸν ἀκήρατον καὶ ἄσπιλον.

Θ. Υἱὸν ὁμοούσιον
Θεῷ πατρὶ γεγέννηκας,
ἐπ' ἐσχάτων τῶν χρόνων υἱὸν ἀνθρώπου σαρκί,
κόρη, γεγονότα, ἐν φύσεσι διτταῖς
ἀνθρώποις φανέντα
καθ' ἕνωσιν ἄρρητον,
συνδραμούσαις εἰς ἓν πρόσωπον.

*

248 Σάβα (sic) Me in D

249 Ga. 6: 14 251-252 Lu. 15: 11-32
253-254 Ps. 44: 2 253-258 Mat. 25: 1-13

XXIIIc. Κανὼν γος κατὰ φιλαργυρίας, οὗ ἡ ἀκροστιχὶς αὕτη
Τρίτον μέλισμα κατὰ φιλαργυρίας, μοναχοῦ Μάρκου.

F. 90v Φιλαργύρῳ δὲ τίς παρ' ἀφθίτοις τόπος,
ὃς χοῦν προτιμᾷ τῶν Ὀλύμπου πραγμάτων;

Ὠδὴ πρώτη. Ἦχος γ'. Ὁ τὰ ὕδατα πάλαι

Τῆς τρυφῆς ὁ χειμάρρους
ζῶν καὶ ἁλλόμενον ὕδωρ
ὁ ἀεννάως προχέων,
διδαχῶν ἄφθονα
νάματα, λόγε, τῶν σῶν
F. 91 πότισον διψῶντα με
καὶ τῶν ἐν βίῳ φροντίδων
χωρίσας ἀξίωσον τοῖς σοῖς προσμένειν ποσίν.

Ῥαθυμίᾳ τὴν χάριν
προδεδωκὼς ὁ γενάρχης,
ὑπὸ φθορὰν ἐγεγόνει
τῆς σαρκός· αὕτη μοι
μήτηρ τῆς χρείας, ἡ δὲ
τὴν ῥίζαν ἀπέτεκε
καὶ ἀρχηγὸν τῆς κακίας,
ὡς ὁ Παῦλος εἴρηκε, πλεονεξίαν μοι.

Ἰδὼν εἶδες, οἰκτίρμον,
τὰς ἡμετέρας κακώσεις
καὶ συμπαθῶς ἐπεσκέψω
τὸ πτωχὸν φύραμα
καὶ τὴν τοῦ δούλου μορφὴν
πτωχεύσας ὁ πλούσιος
ὑπερβολῇ εὐσπλαγχνίας,
ἵνα τὸν μὴ ῥέοντα πλοῦτον πλουτίσῃς ἡμᾶς.

Heirm. α' EE 67, n. 95, Joannis

1 Ps. 35: 8 2 Jno. 4: 14 9-12 Ge. 3: 6, 17 15-16 Ro. 1: 29
17-18 Ac. 7: 34 20 I Co. 5: 6 21 Phi. 2: 6-7

www.tezaurliturgic.ro

Τὴν πατρῴαν ἑστίαν
ἀπολιπὼν μετανάστης
Ἀβραὰμ τῇ κελεύσει
τοῦ Θεοῦ γέγονεν,
ὑποδεικνύων ἡμῖν
πίστιν ἀκαταίσχυντον,
ὑπακοὴν καὶ ἐλπίδα
καὶ τῆς ξενιτεύσεως τὸ μέγα ὄφελος.

Θ. Ὁ ἐλθὼν εἰς τὸ σῶσαι
οὐχὶ δικαίους, ὡς εἶπας,
ἁμαρτωλοὺς δέ, οἰκτίρμον,
πονηρὸν ὄντα με
καὶ παραβάτην τῶν σῶν
ἐντολῶν δεήσεσι
τῆς Θεοτόκου οἰκτείρας,
πρὸς ζωὴν μετάγαγε τὴν αἰωνίζουσαν.

Ὠδὴ τρίτη. Ὁ ἐκ μὴ ὄντων

Νοὸς πτωχείᾳ
καὶ πίστεως εἰς Θεὸν
ἀπορίᾳ φείδομαι
τῶν παρόντων, τοῖς μέλλουσι
προσεπεκτεινόμενος
καὶ τῷ ῥέοντι πλούτῳ προστιθέμενος.

Μεγάλην εὗρεν
ἀντίδοσιν Ἀβραάμ
τῆς φιλοξενίας, Θεὸν
ἐν τρισὶν ὑποστάσεσι
τυπικῶς δεξάμενος·
μίμησαι τοῦτου, ψυχή, τὴν εὐσπλαγχνίαν.

Heirm. γ′ EE 67, n. 95, Joannis

25-28 Ge. 12: 1-5 **33-35** Mat. 9: 13 **44-45** Cfr. Phi. 3: 14
47-51 Ge. 18: 1-19

Εὐζώνους εἶναι
καὶ κούφους πρὸς τὴν ὁδὸν
τοῦ βίου βουλόμενος,
ὁ δεσπότης ἐκέλευσε
μὴ περὶ τῆς αὔριον
μεριμνᾶν ἡμᾶς· τὴν γὰρ ἡμέραν ἀρκεῖν.

Λαβὼν ὡς μόνην
ἀρκοῦσαν τὴν πατρικὴν
εὐλογίαν, πλούσιος
ἐξ ἀπόρων γεγένηται
Ἰακὼβ ὁ δίκαιος·
οὕτω καλὸν ὁ πλοῦτος ὁ θεόσδοτος.

Θ. Ἱερωτάτη
χορεία τῶν προφητῶν
χρυσῆν στάμνον, τράπεζαν
καὶ λυχνίαν ἐκάλει σε,
F. 91v Θεοτόκε, τρέφουσαν
καὶ φωτίζουσαν κόσμον καὶ πλουτίζουσαν.

Ὠδὴ τετάρτη. Ἔθου πρός ἡμᾶς

Σύ, πρὸς τὴν ἡμῶν
καταβὰς πτωχείαν, φιλάνθρωπε,
σπήλαιον ὑπῆλθες εὐτελές
καὶ πενιχρὰν μητέρα καὶ βίον λιτὸν
προείλου, τὸ νόσημα
τῶν φιλοπλούτων ἀνασπῶν ἐκ ῥιζῶν.

Μέγα, ὦ ψυχή,
πρὸς τὸν βίον ἔχεις ὑπόδειγμα

Heirm. δ′ EE 67, n. 95, Joannis **62-63** Ἰακὼβ ὁ δίκαιος/ἐξ ἀπόρων γεγέ-νηται primum scripsit, deinde litteris β α suprascriptis ordinem invertit Je in R

57-58 Mat. 6: 34 **59-63** Ge. 27: 27-29 **64** Cfr. Si. 13: 24
67 στάμνος Ex. 16: 33 τράπεζα Ex. 38: 9-12 **68** Ex. 38: 13-17
71-72 Cfr. II Co. 8: 9 **73** Tischendorf, Evang., 32

www.tezaurliturgic.ro

τὸν ἀκαταγώνιστον Ἰωβ
ἐν πειρασμοῖς καὶ αὖθις ἐν ἀνέσεσι
μέτριον, οἰκτίρμονα,
φιλόθεόν τε καὶ ἀφιλάργυρον.

Ἄσκευον ζωὴν
μετελθεῖν με, σῶτερ, ἀξίωσον
ὡς τοῖς πετεινοῖς τοῦ οὐρανοῦ
καὶ τοῦ ἀγροῦ τοῖς κρίνοις εἰκάζεσθαι,
τὰ ἄνω διώκοντα
καὶ πρὸς τὰ κάτω μὴ ἐπιστρεφόμενον.

Κλέψας τολμηρῶς
ἱεροῦ ὁ Ἄχαρ ἀναθέματος,
θάνατον ὑπέσχε τὴν ποινὴν
παντὶ τῷ γένει λιθολευστούμενος·
βλέπε, ὦ φιλάργυρε,
τῆς θείας ψήφου τὸ ἀπαραλόγιστον.

Θ. Ἅρμα τοῦ Θεοῦ,
λογικῶν ἁρμάτων ὑπέρτερον
καὶ μυριοπλάσιον, ἐμὲ
τὸν ταπεινὸν καὶ ὅλον χαμαίζηλον
ἐφ' ἅρματος ὕψωσον
ἀκτημοσύνης καὶ ἀπαθείας, ἁγνή.

Ὠδὴ πέμπτη. Ὡς εἶδεν Ἡσαΐας

Τὰς ἀλώπεκας ἔφης
τῷ γραμματεῖ ἰδίων εὐμοιρεῖν φωλεῶν
πετεινά τε αὖθις κατασκηνώσεων,
αὐτὸς δὲ
μὴ ἔχειν κλῖναι
κεφαλὴν ὁ τοῦ παντὸς δημιουργός,
ἐλπίδος ἀπάγων τὸν πρὸς χρήματα βλέποντα.

Heirm. ε' EE 71, n. 101

85-88 Cfr. Mat. 6: 26, 28, 31, 33; Lu. 12: 24 89-92 Jo. 7: 1, 25-26
101-106 Mat. 8: 20

Ἀπήλλαξε θανάτου
καὶ τοῖς ἑξῆς ἀοίδιμον εἰργάσατο
τὴν Ῥαὰβ ὁ τρόπος ὁ εὐμετάδοτος·
ψυχή μου,
πεπορνευκυῖα
τὴν καλὴν φιλοξενίαν μετελθεῖν
ἀγώνισαι, ἵνα καθάρῃς σου τὰ πταίσματα.

Φυλάσσεσθαι ἐκ πάσης
πλεονεξίας, δέσποτα, ἐκέλευσας,
ὅτι οὐκ ἐν τῷ περισσεύειν ἔνεστιν
ἀνθρώπῳ
ζωὴ ἐκ πάντων,
ὧν ἐν βίῳ θησαυρίζει ἐκπονῶν·
τοῦτον με τὸν νόμον συνέτισον καὶ δίδαξον.

Ἰδέαις ἐνσχολάσας
πολυτελείας πάσης Σολομῶν καὶ τρυφῆς
F. 92 οὐδ' ὡς ἓν τῶν κρίνων περιεβάλετο·
τί μάτην,
ψυχή, ταράσσῃ,
θησαυρίζουσα ἑτέροις ἐπὶ γῆς,
τί τοῖς δεδομένοις οὐκ ἀγαπᾷς ἐκ φύσεως

Θ. Λεόντων ψυχοφθόρων
τὰς μύλας σύνθλασον, ἁγνή, καὶ σύντριψον
τῶν εὐλογοφανέσιν ἀφελκόντων με
αἰτίαις
τῆς θείας μνήμης
καὶ μελέτης ἐπὶ φαύλας καὶ ψυχρὰς
ἐννοίας, ὡσάν με κατάβρωμα ποιήσαιντο.

108-110 Jo. 2: 9-14; 6: 23 115-120 Lu. 12: 15
121 Ps. 118: 34 122-124 Mat. 6: 28 127 Mat. 6: 19-20
129-130 Ps. 57: 6

www.tezaurliturgic.ro

Ὠδὴ ἕκτη. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

Ἁμαρτιῶν βαρὺ φορτίον
οὐκ αἰσθάνομαι, δεσμῶν ἐμαυτῷ
περιβαλλόμενος πολὺν
πλοῦτον ἄδικον ὁ ἄθλιος,
καὶ τί ποιήσω, ὅτε
διὰ πυρὸς ἐλεύσομαι
φέρων ἔργον τοιοῦτον

Ῥέοντι πλούτῳ προσκειμένη,
Ἰεζάβελ ἡ παράνομος
τὸν Ναβουθαὶ χάριν ἀγροῦ
τῷ θανάτῳ παραδέδωκεν,
ἀλλ' ἔλειξαν οἱ κύνες
καὶ τὸ αὐτῆς χεόμενον
αἷμα σὺν τῷ ἐκείνου.

Γῆ τοῖς ἰδίοις ἐκφορίοις
δεξιοῦται σε, ὦ ἄνθρωπε,
ὑδάτων φύσις καὶ ἀὴρ
χορηγεῖ σοι πρὸς ἀπόλαυσιν·
μὴ τοίνυν ἀγνωμόνει,
μηδὲ μιμοῦ τὸν ἄφρονα,
οὗ ψυχὴ ἀπαιτεῖται.

Ὗειν ἐκέλευε τοῖς νέφεσι
καὶ αὐχμῷ τὴν γῆν ἐκόλαζεν,
ὕδωρ αὐτόματον ἐν γῇ
καὶ πῦρ ἄνωθεν ἐπέφερεν
Ἠλίας ὁ Θεσβίτης·
ὅρα, ψυχή, τὰ ἔπαθλα
τῆς ἀΰλου διαίτης.

Heirm. ϛ′ EE 78, n. 110, Germani
161 Ἠλίας (sic) Me in D

143-149 III Ki. 20: 1-16; 22: 37-38 **155-156** Lu. 12: 20
157-161 III Ki. 17: 1-2

Θ. Ῥήμασι σοῖς ἀκολουθοῦντες
μακαρίζομέν σε, πάναγνε,
τὴν μακαρίους ἀληθῶς
ἐκτελοῦσαν τοὺς πιστεύοντας
τῷ σῷ υἱῷ καὶ τούτου
τὰς ἐντολὰς φυλάττοντας
καὶ αὐτῷ ἑπομένους.

Κάθισμα. *Τὴν ὡραιότητα*

Τρόπον φιλάργυρον
καὶ φιλοκτήμονα
ζηλώσας, γέγονα
πάντων ὑπεύθυνος
τῶν φυομένων ἐξ αὐτοῦ
κακῶν ὁ ἀφρονέστατος·
ὅθεν ὑποβλέπομαι
τὴν ἐκεῖ ἀνταπόδοσιν
καὶ τὴν ἐν φλογὶ πυρὸς
τῆς γεέννης κατάκρισιν·
ἀλλά μοι πρὸ τοῦ τέλους ἀξίως
μετανοῆσαι δός, Κύριε.

Ὠδὴ ἑβδόμη. *Ὡς πάλαι τοὺς εὐσεβεῖς.*

Ἰούδας ὁ δυσσεβὴς
ἁλοὺς τῷ νοσήματι.
F. 92v πρότερον μὲν ἔκλεπτε κρυφῇ,
ἔπειτα προβαίνων ὁδῷ πρὸς τὸ κακὸν
αὐτὸν παραδέδωκε
τὸν εὐεργέτην Κύριον·
ὢ ψυχῆς ἀπανθρωπία δεινή.

Heirm. cath. HR 243 **Heirm. ζ′** EE 67, n. 95, Joannis

164 Lu. 1: 48 **168-169** Cfr. Lu. 11: 28 **179-180** Cfr. Mat. 5: 22
Mar. 9: 47 **183-188** Mat. 26: 14-15; Mar. 14: 10-11; Lu. 22: 3-5
185 Jno. 12: 6

www.tezaurliturgic.ro

Ἀργύριον ὁ Χριστοῦ
μαθητὴς οὐκ ἔφερεν,
οὐδὲ χρυσίον, τὸ δὲ παντὸς
χρυσοῦ τιμαλφέστερον ὄνομα Χριστοῦ,
ᾧ φαρμάκῳ χρώμενος
τὸν ἀσθενοῦντα ἔδειξεν
ὑγιῆ τε καὶ ὁλόκληρον.

Συνόντα τῷ θαυμαστῷ
Ἐλισσαίῳ, ἤκουσας
τὸν Γιεζῆ, τάλαινα ψυχή,
τῇ δὲ προαιρέσει διέχοντα μακράν·
ἐρασθεὶς χρημάτων γὰρ
τὴν λέπραν ἐκομίσατο·
φύγε κάκιστον ἐμπόρευμα.

Μὴ γένῃ τῷ Μαμωνᾷ
δούλη, ψυχή, φεύγουσα
τὸν ἀληθῆ Κύριον Θεόν·
οὐδὲ γὰρ δυνήσῃ δουλεύειν τοῖς δυσὶ
κυρίοις ὡς ἤκουσας·
ὅθεν ἑλοῦ τὴν κρείττονα
δουλείαν οἰκειοῦσαν Θεῷ.

Θ. Ὁδεύειν με τὴν στενὴν
ὁδὸν ἐνδυνάμωσον,
ἡ τοῦ Θεοῦ πόλις ἐκλεκτή,
δι' ἧς καταπαύσω Σιὼν πρὸς νοητήν,
ἔνθα τὸ πολίτευμα
ἡμῶν καὶ ὁ Χριστός ἐστι,
δεξιᾷ πατρὸς καθήμενος.

192-193 Act. 3: 6
197-200 IV Ki. 5: 20-27
204-208 Mat. 6: 24
211-212 Mat. 7: 13-14
213-214 Cfr. Ps. 86: 1-3
215 Phi. 3: 20
217 Mat. 26: 64; Mar. 16: 19; Ac. 7: 55-56

Ὠδὴ ὀγδόη. Ἀστέκτῳ πυρὶ ἐνωθέντες

Νεφέλῃ ὀχούμενος, ὅτε
ἐπὶ γῆς κατέλθῃς τοῦ ποιῆσαι ὀρθὴν κρίσιν,
μὴ χωρίσῃς με τῶν προβάτων
τὸν ἀνελεήμονα,
μὴ ἐκπέμψῃς,
σῶτερ, εἰς πῦρ τὸ αἰώνιον
ὡς ἠμελημένα τῶν θείων ἐντολῶν σου.

Ἀπίστου καρδίας τὸ πάθος,
γέννημα ψυχῆς ἀπηνεστάτης θηριώδους
κατὰ τὴν Σολομῶντος βδέλλαν,
ἥτις οὐκ ἐμπίπλαται,
ἐοικυίας
Ἅδῃ καὶ πυρὶ καὶ ὕδατι·
μὴ τοιοῦτον τέρας, ψυχή μου, προενέγκῃς.

Χαρὰν ἀληθῆ ἀγνοήσας,
ἥ ἐστι καρπὸς πνεύματος θείου, ὑπερχαίρω,
στιλβηδόνας ὁρῶν χρυσίου,
καὶ ἀνθρώπων εἴδωλα
γεγλυμμένα
σέβω καὶ λαμπρὰ λιθίδια
σπουδῇ περιέπω, φεῦ τῆς ἀναισθησίας.

Ὀρέγῃ, ψυχή μου, βρωμάτων
σώματος, ἑτέρων ἡδονῶν οὔπω τοσοῦτον.
Προφασίζῃ γάρ μοι τὴν φύσιν·
τοῦ χρυσοῦ τὸν ἔρωτα
ποία φύσις
ἄγει, εἰ μὴ προαιρέσεως
σαφὴς μοχθηρία καὶ ἐθελοδουλία;

Heirm. η' EE 71, n. 101, Cosmae

218-219 Mar. 13: 26
220 Mat. 25: 32
225-228 Pr. 27: 20
232-233 Ga. 5: 22

www.tezaurliturgic.ro

F. 93

Ὑλῶν πολυΰλων κακίας
ὕπερθεν ἁλλόμενον τὸν νοῦν μου, Θεοτόκε,
ἡ τὸν ἄϋλον δεξαμένη
ἐν ὕλῃ, ἀνάδειξον
καὶ συντόνῳ
δρόμῳ τοῖς ἀΰλοις ποίησον
ἀεὶ ἁμιλλᾶσθαι καὶ πρὸς τὰ ἄνω θέειν.

Ὠδὴ ἐνάτη. Ἐν Σιναίῳ τῷ ὄρει κατεῖδε σε

Μετὰ πάντα ἑκατονταπλάσια
καὶ αἰώνιον ζωὴν
ὁ δεσπότης παρέξειν ὑπέσχετο
τοῖς ἀκούουσιν αὐτοῦ
καὶ τίς ἄρα μὴ δράμῃ,
τοσοῦτον προκείμενον
βλέπων ἐνώπιον
ἀγαθῶν συνάθροισμα πραγματεύσασθαι;

Ἀγαπᾶν τὸν πλησίον ἐκέλευσεν
ὁ δεσπότης Ἰησοῦς
ἀληθείᾳ καὶ ἔργῳ, οὐ στόματι,
καὶ τὸ ἔλεος ποιεῖν
μετὰ τῶν δεομένων,
ὥσπερ ὁ τὸν κείμενον
λούσας ἡμίθνητον
καὶ συγκομισάμενος Σαμαρείτης χρηστός.

Ῥητορεύοντα λόγοις ἐφίμωσας
τὸν κακίας σοφιστὴν
ὡς Θεὸν ἀπαιτοῦντα προσκύνησιν
ἀντὶ δόξης καὶ τρυφῆς·
αὐτοῦ με τῶν λημμάτων,

Heirm. θ′ EE 74, n. 104, Andreae

253-256 Mat. 19: 29; Mar. 10: 30
261 Mat. 19: 19; Mar. 12: 33; Lu. 10: 27
266-268 Lu. 10: 30-36 **269-271** Mat. 4: 9-10

καὶ τοῦ δεινοῦ στόματος,
λόγε, ἐξάρπασον
διὰ ἀπληστίας με καταπαλαίοντος.

Κατελθὼν ἐπὶ γῆς ὁ οὐράνιος
εἰς τὸ σῶσαι τοὺς ἐν γῇ,
δορυφόρους καὶ σκῆπτρα καὶ ἄρχοντας
καὶ σοφοὺς καὶ γραμματεῖς,
οὐ προσέλαβες, σῶτερ,
ἀλλ᾽ ἁλιεῖς, πένητας,
ἄνδρας ἀπράγμονας,
οὓς καὶ ἐξαπέστειλας ἀπερίττῳ σκευῇ.

Ὁ κρατῶν τῇ χειρί σου τὰ σύμπαντα
καὶ διέπων ὡς Θεός,
τὴν καρδίαν μου πλάτυνον, δέομαι,
στενωθεῖσαν ἐκ παθῶν
καὶ τὰ κάτω φρονοῦσαν
καὶ δός ἐπιγνῶναι με
τὴν σὴν ἐνοίκησιν
καὶ εὐαρεστῆσαι σοι διὰ τῆς πράξεως.

Θ. Ὑπὸ πάσης ὑμνεῖται τῆς κτίσεως
αἰσθητῆς καὶ νοητῆς
τὸ μυστήριον, κόρη, τοῦ τόκου σου,
πῶς ὁ πάντων βασιλεὺς
ἐρασθείς σου τοῦ κάλλους
ἐν σοὶ κατεσκήνωσε
καὶ ὑπερτέραν σε
τῶν ἀγγελικῶν διακόσμων ἀνέδειξεν.

*

282 Cfr. Mat. 4: 18-19
287 Cfr. Ps. 118: 32
291 Jno. 14: 23; II Co. 6: 16
296-297 Ps. 44: 11

www.tezaurliturgic.ro

XXII[a]. Κανὼν δ[ος] ἐπὶ λύπῃ, οὗ ἡ ἀκροστιχὶς αὕτη· Φάρμακον ᾠδε τῷ πάθει τῷ τῆς λύπης, μοναχοῦ Μάρκου.

F. 93[v]

Τήκει πάγον μὲν ἡ πυρώδης οὐσία,
ψυχὴν δὲ λύπης ἡ κατάψυχρος φύσις.

Ὠδὴ πρώτη. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου

Φωτί με καταύγασον
τῷ ἀνεσπέρῳ, φιλάνθρωπε,
τὸ σκότος ἐλαύνων μου
τῆς ἀθυμίας μακράν,
ἵνα χαίρων σοι
χαρᾶς προσοίσω μέλος,
ταμεῖον ὑπέρτατον
τῆς ἀϊδίου χαρᾶς.

Ἀψίκορος πέφηνε
τῶν ἀγαθῶν, ὧν ἠξίωται
καὶ τῆς ἀπολαύσεως
τῶν ἐν Ἐδὲμ ὁ Ἀδάμ·
ὅθεν κέκριται
ἐν πόνοις καὶ ὀδύναις
τὸν ἄρτον ἐργάζεσθαι·
φεῦ μοι τοῦ πτώματος.

Ῥῦσαι ἐκ παγίδος με
τῶν θηρευόντων τὸν δοῦλον σου
λόγου ταραχώδους τε
καὶ φόβου νυκτερινοῦ
καὶ τοῦ δαίμονος
τῆς λύπης, ἐλεῆμον·
ὡς σὴς γὰρ κατέφαγε
τὴν ταπεινήν μου ψυχήν.

Tit. αὕτη om. R
Heirm. α' EE 99, n. 141, Joannis

9-15 Ge. 2: 16; 3: 17-19 **17-18** Ps. 123: 7 **20** Ps. 90: 5
23-24 Is. 50: 9

Μετέλαβε βρώσεως
πρὸς ἡδονὴν ἡ προμήτωρ μου
κἀμοὶ νῦν μετέδωκε
τῆς ἐν ὀδύναις ζωῆς
καὶ συνέχομαι
κεντούμενος ὀξέως·
σύ με παρακάλεσον,
Χριστέ, ἡ πάντων χαρά.

Θ. *Ἀγνείας θησαύρισμα,*
χαῖρε, δι' ἧς ἐκ τοῦ πτώματος
ἡμῶν ἐξανέστημεν,
χαῖρε, ἡδύπνοον
κρῖνον, δέσποινα,
πιστοὺς εὐωδιάζον
θυμίαμα εὔοσμον,
μύρον πολύτιμον.

Ὠδὴ τρίτη. Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε,

Κοσμικαῖς μερίμναις πεπαρμένος,
καρποῦμαι τὰς λύπας ἐξ αὐτῶν,
ὅθεν λοιπὸν τὸν θάνατον
ἐλεεινῶς ἐκδέχομαι·
ἡ γὰρ τοῦ κόσμου λύπη μοι
τὸν θάνατον κατεργάζεται.

Ὁ Κάϊν τὴν λύπην καὶ τὸν φθόνον
πικρότατον πόνον συλλαβών,
τὴν ἀνομίαν ἔτεκε
τὸν φόνον ἐργασάμενος·
βλέπε, ψυχή, τὸ ἄλογον
τῆς λύπης ὅσον κακόν ἐστιν.

Heirm. γ' EE 100, n. 141, Joannis

25-28 Ge. 3: 6, 16 **45-46** II Co. 7: 10
47-50 Ge. 4: 5, 8-10 **49** Ps. 7: 14

www.tezaurliturgic.ro

Νοὸς ἐλαφρίᾳ ὥσπερ σκώληξ
ἐν ξύλῳ ἐγκάθηται σαθρῷ
τῆς λύπης τὸ δαιμόνιον,
ἀπαύστως διεσθίον με·
Χριστέ μου, τὸ δεινὸν αὐτὸς
φαρμάκοις σοῖς ἐναπόκτεινον.

Ὡς πόλιν οἰκῶν ὀχυρωτάτην
Ἑνὸς τὴν ἐλπίδα, τὸ Θεοῦ
ἐπεκαλεῖτο ὄνομα·
ταύτην καὶ σὺ φυλάττουσα,
F. 94 πικρίας λογισμοῖς, ψυχή,
καὶ λύπης ἔσῃ ἀνάλωτος.

Θ. Δάμαλις τὸν μόσχον ἡ τεκοῦσα
τὸν ἄμωμον, χαῖρε, τοῖς πιστοῖς,
χαῖρε, ἀμνὰς κυήσασα
Θεοῦ ἀμνὸν τὸν αἴροντα
κόσμου παντὸς τὰ πταίσματα,
χαῖρε, θερμὸν ἱλαστήριον.

Ὠδὴ τετάρτη. Ὁ καθήμενος ἐν δόξῃ

Ἔθεντό με κατωτάτῳ
λάκκῳ λύπης οἱ τύραννοι
καὶ σκιᾷ θανάτου
καὶ ἐπεστηρίχθη ὁ σὸς ἐπ' ἐμὲ
θυμός, ἐκπίνων τὸ αἷμα
καὶ συγκαίων με
φλογοφόροις βολίσιν, ἀλλ' ἄνες μοι, Κύριε.

Heirm. δ' EE 95, n. 135, Joannis **60** τὸ Me in D: τοῦ R
73-74 verba ab σκιᾷ usque ad ἐπε-... in marg. dextra cod. D scripta inveniuntur

53 Pr. 12: 4 **59-61** Ge. 4: 26 **71-74** Ps. 87: 6-7

Τὴν πολλὴν τοῦ πατριάρχου
Ἀβραὰμ γενναιότητα
καὶ τὴν καρτερίαν
ζήλωσον, ψυχή, πόσα πέπονθε
μεταναστεύων, λιμώττων,
πειραζόμενος,
καταθύειν τὸν μόνον υἱὸν κελευόμενος.

Ὥσπερ λέαινα τὴν γένυν
ἐμβαλοῦσα, πικρότατον
δῆγμα μοι ἐνῆψεν
ἡ θανατηφόρος πικρὰ ἡδονὴ
καὶ νῦν ἡ μνήμη τοῦ πάθους
ὡς ἰὸς δριμὺς
διατρέχει με ἔνδον τῇ λύπῃ σπαράττουσα.

Πάντας τούς τε πρὸ τοῦ νόμου
καὶ ἐν νόμῳ ἐκλάμψαντας
καὶ μετὰ τὸν νόμον
μαθοῦσα, ψυχή, διὰ θλίψεων
καὶ πειρασμῶν πολυτρόπων
διαθλήσαντας,
μὴ δυσφόρει μικραῖς συμφοραῖς ἐντυγχάνουσα.

Θ. Ἄγγελός σοι οὐρανόθεν
ἐπιστάς, προσεφώνησε·
«κεχαριτωμένη,
χαῖρε· μετὰ σοῦ γὰρ ὁ Κύριος,
εὐλογημένη Μαρία,
ἀπειρόγαμε,
ἡ ἀναίρεσις τῆς ἐν ὀδύναις βιώσεως».

116 v. in marg. dextra cod. R add. Je

82 μεταναστεύειν Ge. 12: 1-6 λιμώττειν Ge. 12: 10
83 Ge. 22: 1 **84** Ge. 22: 1-10 **101-103** Lu. 1: 28

www.tezaurliturgic.ro

Ὠδὴ πέμπτη. Ἑξέστη τὰ σύμπαντα

Θεὸν προσδεχόμενος
τὸν σώζοντα ἐκ θλίψεως
ὀλιγοψυχίας καταιγίδος,
ἔφερε πάσας τῶν πειρασμῶν προσβολὰς
ὁ ἀκαταγώνιστος Ἰώβ,
πίστει συνεχόμενος
καὶ ἀγάπῃ φρουρούμενος.

Ἐντὸς ὑποσμύχον με
τὸ πῦρ τῆς λύπης ἄμετρον
ἀτμὸν αἰθαλώδη ἀναπέμπει,
ὅς καὶ συστὰς περὶ τὸν ἐγκέφαλον
ὥσπερ εἴ τι νέφος σκοτεινὸν
ὅλον καὶ δυσαίσθητον,
ὦ τοῦ πάθους, ἐργάζεται.

F. 94^{v} Ἰδοὺ οἱ Αἰγύπτιοι
οἱ νοητοί με, Κύριε,
καταδυναστεύουσιν ἐν πόνοις
καὶ τὴν ζωήν μου κατοδυνῶσι σφοδρῶς
πόλεις ὀχυρὰς οἰκοδομεῖν
τῇ κακίᾳ· ῥῦσαι με
τῆς αὐτῶν ἐπιθέσεως.

Τὸν κοπετόν μου στρέψον μοι
εἰς χαρὰν καὶ διάρρηξον
τὸν τῆς ἁμαρτίας τραχὺν σάκκον
καὶ εὐφροσύνην με νῦν περίζωσον
τὸ πικρόν μοι δάκρυον, σωτήρ,
εἰς γλυκὺ μετάβαλε
καὶ τὸ πρόσωπον φαίδρυνον.

Heirm. ε′ EE 100, n. 141, Joannis

108 Ps. 54: 8 **109-112** Jb. 1: 21; 2: 10
120-124 Ex. 1: 11-13 **127-130** Ps. 29: 11

Θ. Ὠδὴν χαριστήριον
ἀνενεγκεῖν ἀξίωσον
ὥσπερ ἐν τυμπάνῳ τῇ νεκρώσει
τῶν παθημάτων Μαριὰμ πρόσφατον
τὴν ψυχήν μου, κόρη Μαριάμ,
τοὺς τῆς ἀπογνώσεως
ἐμβυθίσασα δαίμονας.

Ὠδὴ ἕκτη. Τὴν θείαν ταύτην καὶ πάντιμον

Τοῦ Παύλου λέγοντος ἄκουσον,
«θλῖψις ὑπομονὴν κατεργάζεται,
ἡ δὲ ὑπομονὴ
τὴν δοκιμήν, ταύτης γέννημα
καλόν, ἐλπίς», ψυχή μου, «ἡ ἀκαταίσχυντος».

Ἡδυπαθῶν ἐπαλγύνομαι,
βρωμάτων καὶ πομάτων λειπόμενος
καὶ δοξαρίου μικροῦ,
γογγύζων ὡς Ἰουδαῖοι ποτὲ
ἐν τῇ ἐρήμῳ, κόρον τοῦ μάννα ἔχοντες.

Σὺ ἐπὶ φίλῳ ἐδάκρυσας
ἐκ τάφου τεταρταῖον, ὃν ἤγειρας,
κἀμοῦ τὸ πένθος, σωτήρ,
μεταβαλὼν ἐξανάστησον
ἐξ Ἅδου κατωτάτου τὴν ταπεινήν μου ψυχήν.

Λύπης ἀλόγου ἀπόστηθι,
ψυχή μου, καὶ τὴν θείαν ἀγάπησον
λύπην, πταισμάτων σου
τῶν πρὶν ἀεὶ μνημονεύουσα
καὶ ἐν κλαυθμῷ καὶ πένθει ἱλεουμένη Θεόν.

Heirm. ς′ EE 100, n. 141, Joannis

134-136 Ex. 15: 20-21 **142-145** Ro. 5: 3-5
149-150 Nu. 11: 1; Ex. 16: 7 **151-152** Jno. 11: 35, 39
155 Ps. 85: 13 **156-158** II Co. 7: 10 **160** Cfr. De. 34: 8

www.tezaurliturgic.ro

Θ. Ὑπέρκειται νόμων φύσεως
ὁ τόκος σου ὠδίνων γὰρ ἄνευθεν
Θεὸν ἐγέννησας,
ἁγνὴ παρθένε ἀμόλυντε,
διό μου τὰς ὀδύνας ἴασαι, δέομαι.

Κάθισμα. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως

Τὴν ἀθυμίαν τῆς ψυχῆς μου γινώσκεις,
τὸν ἀπαράκλητον ἐπίστασαι πόνον·
ὁ κατὰ μόνας πλάσας τὰς καρδίας ἡμῶν,
ἄνες μοι, φιλάνθρωπε,
πρὸς μικρὸν ἀναψύξαι
F. 95 πρό τοῦ με ἀπελθεῖν
καὶ οὐκέτι ὑπάρξω·
τὴν γὰρ ἐλπίδα πᾶσαν ἐπὶ σοὶ
προσανεθέμην
ὁ δοῦλος σου, σῶσον με.

Ὠδὴ ἑβδόμη. Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες

Παραφαίνων ὁ Δαβὶδ καλὸν ὑπόδειγμα
λύπης ἐνθέου, φησίν·
«ἐν στεναγμῷ κοπιῶν
λούσω κατὰ νύκτα μου
τὴν κλίνην δάκρυσι»·
τοῦτον μίμησαι
καὶ λυτρωθήσῃ τάχιστα
τῆς ἀλόγου, ψυχή, λύπης.

Ἡ κολοκύνθα πληγεῖσα τὸν προφήτην σου
σφόδρα λελύπηκεν,
ὅθεν ἐμάνθανεν

161 νόμων Me in D: νόμου R
Heirm. cath. HR 29 **Heirm. ζ'** EE 100, n. 141, Joannis

169-172 Ps. 38: 13 **179-180** Ps. 6: 6 **184-185** Jn. 4: 7-9

ἀλόγως τῷ ψεύσματι
τῆς προφητείας ἀλγεῖν·
ταύτης ῥῦσαι με
τῆς λύπης, πολυέλεε,
ἵνα χαίρω ταῖς σαῖς ψήφοις.

Σὺ πρὸς πάθος τὸ ἑκούσιον ἐρχόμενος
τοῖς μαθηταῖς σου, σωτήρ,
«σφόδρα περίλυπος
ἡ ψυχή μου», ἔλεγες,
«ἕως θανάτου ἐστί»,
παραιτούμενος
θανάτου τὸ ποτήριον
κατὰ φύσιν ἀνθρωπίνην.

Μνήμην ἄληστον θανάτου καὶ κολάσεως
δός μοι, φιλάνθρωπε,
καὶ ἐκ τοῦ φόβου τοῦ σοῦ
τὰς σάρκας μου ἧλωσον,
ἵνα τῶν ὧδε δεινῶν
μὴ αἰσθάνωμαι
παρόντων, μηδὲ μέλλοντα
προσδοκῶν καταπτοῶμαι.

Θ. Ὅτε ἔβλεπες ἐν ξύλῳ προσηλούμενον
τὸν σὸν υἱὸν καὶ Θεόν,
ῥομφαία λύπης τὴν σὴν
καρδίαν διήρχετο,
κόρη πανάμωμε·
ὅθεν δέομαι
τὰ τὴν ψυχήν μου θλίβοντα
σκυθρωπὰ περίελέ μου.

194-196 Mat. 26: 38 **197-198** Mat. 26: 42 **210-211** Lu. 2: 35

www.tezaurliturgic.ro

Ὠδὴ ὀγδόη. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ

Νήφουσαν διάνοιαν καὶ ὄμμα
καρδίας ἐπαγρυπνοῦν ἀεὶ καὶ γρήγορον
δώρησαί μοι, Κύριε,
ἵνα μὴ εἰς θάνατον
τὸν ψυχικὸν καὶ οἴκτιστον κακῶς ὑπνώσαιμι
καὶ εἴποι ὁ ἐχθρὸς ἐγγελλῶν μοι·
«ἴσχυσα πρὸς τοῦτον», καὶ μέγα ἀλαλάξοι.

Ἄκουσον ἁγίου ἐκ ναοῦ σου
καὶ πρόσχες τῇ προσευχῇ μου καὶ τῇ θλίψει μου,
εὔσπλαγχνε, μακρόθυμε,
καὶ κατὰ τὸ ἔλεος
τὸ σὸν αἱ παρακλήσεις σου νῦν εὐφρανάτωσαν
ψυχήν μου, τὴν εἰς βάθη κακίας
ἐναποκειμένην καὶ κατοδυνωμένην.

Χαρᾶς αἰωνίου γλυκυτάτης
F. 95v πηγὴ χρυσοειδεστάτη, ὑπεράγαθε,
πλῆσον τὴν καρδίαν μου
χαρᾶς καὶ αἰνέσεως
τοῦ θείου σου ὀνόματος, πηγὴν χαρμόσυνον
δακρύων ψυχικῶν μοι παρέχων,
ἡ τῆς γῆς τῆς ἔνδον τὸ πρόσωπον ποτίζει.

Ὁ παῖδας τοὺς τρεῖς ἐν τῇ καμίνῳ
δροσίσας συγκαταβάσει τοῦ ἀγγέλου σου,
λόγε ὑπεράγαθε,
καὶ ἐμοὶ τῷ δούλῳ σου
τῶν πειρασμῶν τὴν κάμινον νῦν ἐπανάψυξον
τῇ δρόσῳ τοῦ ἐλέους σου, σῶτερ,
καὶ τῆς συμπαθείας τῆς σῆς ἐπιστασίᾳ.

Heirm. η′ EE 100, n. 141, Joannis

219-222 Ps. 12: 3-4 **223** Ps. 17: 6 **224** Ps. 60: 1
227 Ps. 93: 19 **236** Ge. 2: 6 **237-238** Da. 3: 23

Θ. Ὑμνήσας Χριστὸν ἐξαναστάντα
καὶ πρώτη αὐτὸν κατεῖδες καὶ τὸ «χαῖρε» σοι
πρώτῃ προσεφώνησε,
τῆς λύπης ἀντίρροπον,
καὶ ἀναλαμβανόμενον αὖθις ὁρῶσα ἐκ γῆς
χαρᾶς σου τὴν ψυχὴν ἐπληρώθης,
κεχαριτωμένη ἁγία Θεοτόκε.

Ὠδὴ ἐνάτη. Ἅπας γηγενὴς

Μέλαινα ψυχή,
ἵνα τί περίλυπος εἶ καὶ κατώδυνος,
τί δὲ συνταράσσεις με
ἐν ἀπογνώσει καὶ σκυθρωπότητι;
Ἐπὶ Θεὸν ἐπίρριψον πᾶσαν ἐλπίδα σου,
ὅτι τούτῳ
ἐξομολογήσομαι
καὶ αὐτὸς ἀσφαλές μοι σωτήριον.

Ἄνω τὴν ἐμὴν
διάνοιαν ὕψωσον ἐκ τῶν ἡδέων τῆς γῆς
καὶ τῶν περιστάσεων
τῶν ἐν τῷ βίῳ δεῖξον ἀνώτερον,
ἐν ἀμφοτέροις ἴσον με τοῖς ἐναντίοις τηρῶν
ἀκλινῆ τε
ὅλον καὶ ἀνένδοτον,
ὁ Θεὸς ὁ Θεὸς ὁ Θεός, ἡ Τριάς.

Ῥῖψον, ὦ ψυχή,
τὴν ὄρεξιν ἅπασαν καὶ οὐ κρατήσει σου
λύπη ἡ ἀλόγιστος,
χρημάτων, δόξης καὶ ἀπολαύσεων
τῶν τῆς σαρκὸς ἀνώτερον κτῆσαι τὸ φρόνημα
καὶ βιώσεις
ἄριστα τὴν μέλλουσαν
μακαρίαν ζωὴν εἰκονίζουσα.

Heirm. θ′ EE 100, n. 141, Joannis

245 Mat. 28: 9 **248-249** Lu. 24: 50-52 **256-257** Ps. 9: 1

www.tezaurliturgic.ro

Κλῖνον μοι τὸ οὖς
τὸ σὸν καὶ ἐπάκουσον, ὅτι πτωχός, Χριστέ,
καὶ πένης εἰμὶ ἐγὼ
καὶ ἡ καρδία με ἐγκατέλιπε,
τῶν πειρασμῶν τοῖς κύμασιν ὑποχωρήσασα,
ἀλλ᾽ αὐτός μοι
ταύτην ἐπανάγαγε,
συντηρῶν ἀτρεμῆ καὶ ἀκράδαντον.

F. 96 Ὅλος γλυκασμὸς
καὶ ἔφεσις πέφυκας, υἱὲ καὶ λόγε Θεοῦ
δεῖξον μοι τὴν ὄψιν σου
καὶ τὴν φωνήν σου νῦν μοι ἀκούτισον·
τῆς γὰρ σῆς ἀγαπήσεως ἐτρώθη μου ἡ ψυχή
καὶ νυμφῶνος
ἔνδον με εἰσάγαγε,
τοῦ ἀρρήτου σου κάλλους πληρούμενον.

Θ. Ὕψωσας ἡμῶν
τὴν φύσιν εἰς βάραθρον Ἅδου χωρήσασαν·
ὅθεν ἱκετεύω σε
τὴν ἐν τῷ βάθει τῶν ἀγεννῶν λογισμῶν
κατακειμένην, δέσποινα, ψυχήν μου ὕψωσον
ἐλευθέρῳ
ὄμματι τὸν ἥλιον
προσιδεῖν καὶ διᾶραι τὸν νοῦν πρὸς Θεόν.

*

275 Cfr. e.g. Ps. 85: 1; Is. 37: 17; Ba. 2: 16 **276-277** Ps. 69: 5
278 Ps. 39: 12 **283** Ca. 5: 16 **285-286** Ca. 2: 14
287 Ca. 2: 5 **288-289** Mat. 9: 15 **291** Cfr. Ac. 13: 17

XXII[e]. Κανὼν ε[os] κατὰ ὀργῆς, φέρων ἀκροστιχίδα τήνδε
Ὀργῆς τὸ πέμπτον κατεπάδω προσφόρως ἔπος· Μάρκου.

F. 96 Ὀργὴ δὲ κρατήρ τοῦ Σατὰν ἄτης γέμων,
ἐξ οὗ μεθύσκων τοὺς κενοὺς ἀνατρέπει.

Ὠδὴ πρώτη. Ἦχος πλάγιος α΄.
Ἵππον καὶ ἀναβάτην εἰς θάλασσαν Ἐρυθρὰν

Ὅλος ἁπλοῦς ὑπάρχων ἐν παραδείσῳ ποτὲ
ζωὴν ἄμοχθον ἔζων καὶ ἀμιγῆ τοῦ χείρονος,
ῥιφεὶς δὲ θεώσεως
τῇ ἐλπίδι, γέγονα
τοῖς ἀλόγοις πάθεσι σύζυγος.

Ῥέων ἀπλέτῳ θράσει καὶ ἐκτεινόμενος,
ὁ θυμὸς ὡς θηρίον πικρότατον ἐνάλλεται
παντὶ τῷ λυπήσαντι·
σύ, Χριστέ, ἀνάστειλον
τὴν ὀξεῖαν μοι τούτου κίνησιν.

Γέγονέ μοι τὸ ὅπλον τῆς σωτηρίας, σωτήρ,
δεινὸν ὅπλον θανάτου καὶ ἀπωλείας ὄργανον·
ὃν γὰρ κατὰ ὄφεως
θυμὸν μόνον εἴληφα,
τοῖς ὁμογενέσιν ἐνίημι.

Ἥττημα τὸ τοῦ πρώτου καὶ τοῦ δευτέρου βροτῶν
κατὰ δύο τὰ πάθη ἐγὼ μόνος ἐνδείκνυμαι·
τὴν ἐπιθυμίαν γὰρ
κινῶν πρὸς τὰ ῥέοντα,
θυμὸν τοῖς ἀδελφοῖς ἐπαφίημι.

Θ. Σέ, τὴν καλὴν ἀμνάδα τοῦ ἀρχιποίμενος
καὶ ἀμνοῦ Θεοῦ, μῆτερ, ἐγὼ ὁ θηριάλωτος

Heirm. α΄ EE 131, n. 182, Joannis

3-4 Ge. 3: 4-5 **13-14** Ge. 3: 15 **16** Ge. 3: 6; 4: 8 **22** Jno. 1: 29, 36

www.tezaurliturgic.ro

δυσωπῶ· ἐπίστρεψον
τὴν αἰχμαλωσίαν μου
καὶ σῆς ποίμνης δεῖξον με πρόβατον.

Ὠδὴ τρίτη. Ὁ πήξας ἐπ' οὐδενός

Τοῦ φόνου τὸν ἀρχηγὸν
μανίας τε πρόδρομον,
ἵππον ἀπειθῆ καὶ περὶ ὦτα λάσιον
ἔπεχε θυμὸν τῷ χαλινῷ,
F. 96v *ψυχή, τοῦ θείου φόβου,*
τὴν ἀμετρίαν ἀναστέλλουσα
καὶ τὴν ἀλογίαν ἐγκόπτουσα.

Ὀργῆς κρατῶν Ἰωσὴφ
ὡς πρότερον ἔρωτος
τοὺς ἠδικηκότας αὐτὸν ἰδὼν ἀδελφούς,
οὐδὲ λόγου στύφου πρὸς αὐτοὺς
καὶ πικροῦ ἐδεήθη,
ἀλλὰ φαιδρῶς ἐνηγκαλίζετο
καὶ φιλοφρονούμενος ἔχαιρεν.

Πυρὸς ἀσχέτου φορᾷ
θυμὸς ἀναπτόμενος
ἔοικε, ποτὲ μὲν ἔνδον κινούμενος
περὶ τὴν καρδίαν ἐμμανῶς,
ποτὲ δὲ πρὸς τὰ ἔξω
συμπροϊὼν αἵματι ζέοντι,
δείκνυσι τὴν ὄψιν ἀσχήμονα.

Ἐλέησόν με, Χριστέ,
καὶ ῥῦσαι με δέομαι
τυραννικωτάτου πάθους ἀλόγου θυμοῦ,
ὅ με προκατέλαβε δεινῶς

Heirm. γ' EE 131, n. 182, Joannis v. **24** om. Je in R

23-24 Ps. 125: 4 **29** Ja. 3: 3 **33** Ge. 42: 7-8 **34** Ge. 39: 7-18 **38** Ge. 45: 14-15

καὶ κατασχὸν τὰ ἔνδον
ψυχῆς ὀχήματα εἰργάσατο
ἄβατα τῷ θείῳ σου πνεύματι.

Θ. Μεγάλη ἐπὶ τῆς γῆς
ἡ δόξα σου, δέσποινα,
καὶ ἐν οὐρανοῖς· τὸν γὰρ Θεὸν ἐγέννησας,
ὅθεν ἐκ μεγάλων με παθῶν
καθάρασα μεγάλης
δόξης ἀξίωσον πρεσβείαις σου
τῆς ἐν τῷ αἰῶνι τῷ μέλλοντι.

Ὠδὴ τετάρτη. Τὴν θείαν ἐννοήσας σου κένωσιν

Πραότατος Μωσῆς μαρτυρούμενος
εἶδε πρὸς πρόσωπον Θεόν·
ἡ γὰρ ἀγάπη τὴν εἴσοδον
τῆς παρρησίας ἐκείνῳ
λαμπρῶς πρὸς τὸν δεσπότην διήνοιγεν.

Τὸν λόγον ὁ θυμὸς παρωσάμενος
ἐνδυναστεύει τῇ ψυχῇ
καὶ τὴν ἀκόλαστον ὄρεξιν
ἐπεκδικεῖ καὶ κρατύνει·
Χριστέ μου, *τῆς ἀρχῆς τοῦτον ἔκβαλε.*

Ὁ μέγας βασιλεὺς τὴν πραότητα
μαρτυρηθεὶς ὑπὸ Θεοῦ
καὶ τοῖς ἐχθροῖς ἀνεξίκακος
ἐκ περιόντος ὑπῆρχε·
ψυχή μου, τὴν αὐτοῦ γνώμην ζήλωσον.

Νεκρώσασα, *ψυχή, τὴν παράλογον*
ἐπιθυμίαν, μετ' αὐτῆς
ὀργὴν καὶ λύπην ἐξέκοψας,

Heirm. δ' EE 131, n. 182, Joannis

61 Nu. 12: 3 **62** De. 34: 10 **71-74** Ps. 131: 1

www.tezaurliturgic.ro

εἰ δὲ φυλάττεις ἐκείνην,
οὐ μή σοι ταραχῆς λείψει πρόφασις.

Θ. Καρδίᾳ, νῷ ψυχῇ τε καὶ στόματι
ὁμολογῶν πανευσεβῶς
σὲ Θεοτόκον, κυρίως ἁγνή,
τὴν σωτηρίαν καρποῦμαι
καὶ σώζομαι, παρθένε, πρεσβείαις σου.

F. 97 **Ὠδὴ πέμπτη. Ὁ ἀναβαλλόμενος**

Ἀεννάου ῥεύματος
πηγὴν ἀνάδειξον,
Χριστέ, δακρύων τοὺς ὀφθαλμούς μου,
δι' ὧν ἀποσβέσαιμι
τῆς ὀξυχολίας
τὴν φλόγαν τὴν ἀκάματον.

Τὴν καλὴν πραότητα
ἀπὸ σοῦ μάθοιμι
ταπείνωσίν τε τὴν ἐν καρδίᾳ,
Ἰησοῦ γλυκύτατε,
ἵνα τῇ ψυχῇ μου
τὴν σὴν εὕρω ἀνάπαυσιν.

Ἐν καρδίᾳ ζέοντος
τοῦ πάθους, κράτησον,
ψυχή, τῆς γλώσσης καὶ κατ' ὀλίγον
λογισμῶν σχολάσασα,
φθάσεις εἰς γαλήνην τῆς ἀοργήτου ἕξεως.

Παρὰ φύσιν ἅπτοντος,
θυμοῦ γεγέννηται
ὀξυχολία, ὀργὴ ἐκ ταύτης,
ἥτις ἐγχρονίσασα

Heirm. ε' EE 131, n. 182, Joannis

94 Mat. 11: 29 **97** Si. 11: 19; 22: 13; Mat. 11: 28

μῆνις καὶ πικρία
καὶ κότος ὀνομάζεται.

Θ. Ἅπαντες προφῆται σε
σαφῶς προήγγειλαν
γενησομένην, Θεοῦ μητέρα,
Θεοτόκε πάνσεμνε·
μόνη γὰρ εὑρέθης,
ἁγνή, τελείως ἄμωμος.

Ὠδὴ ἕκτη. Ἐκύκλωσε με ἄβυσσος

Δεσπότης ὢν τοῦ σύμπαντος,
ἐν δούλου
μορφῇ λοιδορούμενος
ἠνέσχου, μακρόθυμε,
Σαμαρείτης ἀκούων
καὶ δαιμονῶν καὶ πλεῖστα ἐμπαροινούμενος.

Ὡς λέων βρυχωμένη, ψυχή,
ὀδόντας
βρύχεις θυμῷ ζέουσα
συὸς τρόπον, δύστηνε,
διὸ ἀναμένει σε
ὁ βρυγμὸς ἐκεῖ τῶν ὀδόντων ὁ ἄπαυστος.

Πικρᾶς ζωῆς ἐρρύσθημεν
καὶ Ἅδου
κακώσεως, δέσποτα,
τῷ πάθει, ὃ ἤνεγκας
μακροθύμως, εὔσπλαγχνε·
ὅθεν κἀμοὶ τοῦ θυμοῦ πικρίαν γλύκανον.

Ῥοπὴ τοῦ θυμοῦ πτῶσις αὐτῷ,
ψυχή μου,

Heirm. ς' EE 132, n. 183, Joannis

116-117 Phi. 2: 6 **120** Lu. 11: 15 **126** Mat. 8: 12 **133** Si. 1: 21

www.tezaurliturgic.ro

τῆς γραφῆς ἀκήκοας·
διὸ σαυτῇ πρόσεχε·
μύλου γὰρ ὀξεῖα ροπὴ
σῖτον πολὺν ἀθρόον συντρίβειν πέφυκεν.

Θ. Ὁ μόνος πολυέλεος
ὁ μήτραν παρθένου σαρκούμενος
οἰκήσας δι' ἔλεον,
αὐτῆς ταῖς δεήσεσι
σπλάγχνα οἰκτιρμοῦ καὶ ἀγάπης με ἔνδυσον.

Κάθισμα. *Τὸν συνάναρχον λόγον Πατρὶ καὶ Πνεύματι*

Τὸν φλογμὸν τῆς γεέννης τὸν ἀκατάσβεστον,
τὸ πικρότατον πένθος καὶ ἀπαράκλητον
ἐννοοῦσα μοι, ψυχή,
F. 97v πυκνοῖς δακρύων κρουνοῖς
ἐναποσβέννυε τὸ πῦρ τοῦ παραλόγου θυμοῦ,
νηστείαν καὶ ἀγρυπνίαν
συμμάχους προσλαβομένη
ταπείνωσίν τε καὶ προσευχὴν πρὸς Κύριον.

Ὠδὴ ἑβδόμη. *Ὁ ὑπερυψούμενος τῶν πατέρων Κύριος*

Σύ, ὁ μὴ βουλόμενος ἀπολέσθαι, εὔσπλαγχνε,
τοὺς σοὶ ἁμαρτάνοντας,
κἀμὲ νῦν ἐπίστρεψον
μετάνοιαν γνησίαν
ἐπιδείξασθαί σοι, λόγε.

Φοβερὰν ἀπόφασιν τοῦ δεσπότου ἤκουσας,
ψυχή, οὕτω λέγουσαν·

Heirm. cath. PaR 364
Heirm. ζ' EE 131, n. 182, Joannis

136 Ex. 23: 21 **144** Mat. 5: 22

«ποιήσει Θεὸς ὑμῖν,
μὴ ἀφιεῖσιν ἄλλοις,
κατὰ τὸν πονηρὸν δοῦλον».

Ὁ θυμός με ἔνδοθεν καταράσσων, Κύριε,
σεληνιαζόμενον
ἄλλον ἀποδείκνυσιν·
ὡς ἔσωσας ἐκεῖνον
κἀμὲ νῦν ἴασαι, σῶτερ.

Ῥύπον, ὃν ἀπέθηκας τοῖς ταμείοις ἔνδοθεν,
ἀθλία ψυχή, τοῖς σοῖς,
εἰ βούλει ἐκκλύσασθαι,
πικροῖς φαρμάκοις χρῆσαι,
ὕβρεσι καὶ ἀτιμίαις.

Θ. Ὡς Θεοῦ μητέρα σε καὶ παρθένον ἄμωμον
ὡς ἔχουσαν πέλαγος
ἐλέους ἀόριστον,
δέσποινα, ἱκετεύω,
τῶν παθῶν καθάρισόν με.

Ὠδὴ ὀγδόη. *Σοὶ τῷ παντουργῷ ἐν τῇ καμίνῳ παῖδες*

Ἐρώτησις· - Σέ, τὸν ἐν ἐμοὶ κακῶς κεκρατηκότα,
παράφρον καὶ ἄσεμνε θυμέ, πυνθάνομαι·
τί σου τὸ γένος, εἰπέ, καὶ τοὺς τεκόντας.
Ἀπόκρισις· - Τύφος, φιλαργυρία καὶ ἡ φιληδονία.

Ἔπεσες θυμῷ κατενεχθεὶς ἀφρόνως.
Ἀνάστα, τὴν χεῖρα σοι Θεὸς προτείνεται,
μὴ ἐπιμείνῃς τῷ πτώματι καὶ σῆψιν
τῆς μνησικακίας ἀθλίως ὑπομείνῃς.

Heirm. η' EE 131, n. 182, Joannis
180 τύφος (sic) Me in D et R

159-161 Mat. 18: 27-35 **163-166** Mat. 17: 15, 18

www.tezaurliturgic.ro

Πάτερ ἡμῶν, εὔχεσθαι ἀκατακρίτως
ἀξίωσον, δέσποτα, τὰ ὀφειλήματα
ἄφες, οἰκτίρμον, ὡς καὶ ἡμεῖς ἀλλήλοις
ἀφίεμεν, νόμοις τοῖς σοῖς ἀκολουθοῦντες.

Ὅλην τοῦ θυμοῦ τὴν βλάστην ἀφανίσεις,
ψυχή, τοῦ θελήματος τὰς ῥίζας τίλασα·
ὅθεν σταυρόν σου προθύμως ἀραμένη
χαίρουσα ὀπίσω Χριστοῦ ἀκολουθήσεις.

Θ. Σοί, τῇ τοῦ παντὸς τὸν ποιητὴν τεκούσῃ,
F. 99 ὁποῖον, πανύμνητε, τὸν ὕμνον ᾄσομαι;
Σὲ γὰρ ὑμνοῦσιν ἀγγέλων στρατηγίαι,
σὲ δοξολογοῦσι βροτῶν χοροστασίαι.

Ὠδὴ ἐνάτη. Ἠσαΐα χόρευε, ἡ παρθένος ἔσχεν ἐν γαστρί

Μικρόψυχον φρόνημα κεκτημένος, ὅλος ἐκ παθῶν
ῥιπίζομαι ἀεὶ καὶ παντοδαπὸς
ὁ δείλαιος γίνομαι, ὑπερνεφῶν καὶ μικροφρονῶν,
παροξυνόμενος καὶ ἀμέτρως πλατυνόμενος.

Αἴρειν με τὰ ὄμματα καὶ τὰς χεῖρας ἐν ταῖς προσευχαῖς
ἀξίωσον πρὸς σέ, λόγε τοῦ Θεοῦ,
ὀργῆς τε ἐλεύθερον καὶ λογισμῶν, ἵνα καθαρῶς
σοὶ προσευχόμενος τὰ αἰτήματα κομίζωμαι.

Ῥημάτων ἐπάκουσον κατωδύνου, σῶτερ, ἐκ ψυχῆς
καὶ ῥῦσαι με παθῶν τῶν τυραννικῶν
ὀργῆς τε καὶ μήνιδος, ὅτι ἐγὼ μόνος πρὸς αὐτὰ
πλὴν σοῦ οὐ δύναμαι· σὺ τῷ δούλῳ σου βοήθησον.

Heirm. θ′ EE 131, n. 182, Joannis

185-188 Mat. 6: 12 **191** Mat. 16: 24
201 τὰ ὄμματα Cfr. Ps. 122: 1 τὰς χεῖρας Cfr. Ps. 27: 2

Κατωτάτῳ λάκκῳ με ἀπωλείας ἔθεντο ἐχθροὶ
βορβόρῳ τε λογισμῶν τῶν ψυχοβλαβῶν
καὶ ἐπιβοώμενον τὸ σὸν σεπτὸν ὄνομα, Χριστέ,
πληγαῖς συγκόπτουσι σιωπᾶν ἐγκελευόμενοι.

Ὅλην μου διάνοιξον τὴν καρδίαν, Ἰησοῦ Χριστέ,
καὶ πλήρωσον τῆς σῆς ἁγιοπρεποῦς
μνήμης, ἀναπνέουσαν τὸ γλυκερὸν ὄνομα τὸ σόν,
κτείνας τὸν δράκοντα τὸν ἐντὸς ὑποκρυπτόμενον.

Θ. Ὕμνον ἐκ χειλέων μου ἀναξίων δέδεξο, σεμνή,
καὶ ῥῦσαι με παθῶν καὶ τῶν πειρασμῶν,
ὅπως βίον ἄνετον καὶ ἀσφαλῆ ζῶν, διὰ παντός
ὕμνοις γεραίρω σε, τὴν ἐλπίδα καὶ προστάτιν μου.

*

209 Ps. 87: 6

www.tezaurliturgic.ro

XXIII[f]. Κανὼν ς[ος] κατὰ ἀκηδίας, οὗ ἡ ἀκροστιχίς ἥδε
Ἀκηδίας μοι δεσμὰ λῦσον, παντάναξ, σῷ δούλῳ Μάρκῳ.

F. 99

Ἀκηδίαν δίωκε τὴν ψυχοφθόρον,
χαλᾷ γὰρ ἡμῶν τοὺς φιλοχρίστους τόνους.

Ὠδὴ πρώτη. Ἦχος πλάγιος β'. Κύματι θαλάσσης

Ἄνω στρατιαί σε
ἀγγέλων ὑμνοῦσι
καὶ κάτω, δέσποτα, βροτῶν συστήματα
καὶ ἀκαμάτως διήκεις,
ἐπακούων ἐπὶ πάντας αὐτούς·
διὸ κἀμοῦ πλήρωσον
ἀκούων τὰ αἰτήματα.

Κύριε, Θεέ μου,
ὁ κτίσας ἐπ' ἔργοις
καλοῖς τὸν ἄνθρωπον, περιπατεῖν ἐν αὐτοῖς
ἀκηδιῶντα με πάντῃ
καὶ λυόμενον ὡς πάρετον
F. 99[v] *ἔγειρον, ἰθύνων με*
πρὸς ἐργασίαν κρείττονα.

Ἡ ἐν παραδείσῳ
ζωὴ τῷ γενάρχῃ
ὑπῆρχεν ἄπονος, ἀλλὰ καὶ ἔργον αὐτῷ
καὶ φυλακή τις ἐδόθη·
σὺ δέ, τάλαινα, καθεύδουσα
ἐν ἀπράκτῳ σώματι
σωθῆναι θέλεις, ψυχή;

Δύναμιν ἐξ ὕψους
περίζωσον, λόγε,
τὸν ἀσθενοῦντα με καὶ ὅλον ἔκλυτον

Tit. Κανὼν ἕτερος κατὰ ἀκηδίας ... R
Heirm. α' EE 164, n. 231, Cassianae tributus

18 Ge. 3: 1 **22-23** Ps. 17: 32

ἐγρηγορέναι καὶ νήφειν
ἐν νηστείαις καὶ δεήσεσιν
ἀγαθαῖς τε πράξεσιν
ὁ μόνος παντοδύναμος.

Θ. *Ἴασαί με, μῆτερ*
Θεοῦ τοῦ ὑψίστου,
καὶ ἰαθήσομαι ὁ πεποιθὼς ἐπὶ σέ·
ἰδού, ἐκλείπει τὸ πνεῦμα
καὶ ὀστᾶ μου συνεφρύγησαν
καὶ τῷ Ἅδῃ ἤγγισε
ζωή μου ἡ ταλαίπωρος.

Ὠδὴ τρίτη. Σὲ τὸν ἐπὶ ὑδάτων

Ἄξιόν με γενέσθαι
τοῦ δείπνου σου τοῦ μυστικοῦ παράσχου,
καιόμενον τὸν λύχνον
καὶ τὴν ὀσφὺν ἐζωσμένην στερρῶς
ἔχοντα, προσδεχόμενον τὴν σὴν ἀνάλυσιν,
Χριστέ μου, ὡς οἰκέτην πιστόν.

Σύμπτωμα μὴ φοβεῖσθαι
καὶ δαίμονα μεσημβρινόν, οἰκτίρμον,
εὐδόκησόν με, λόγε,
ὅτι βαρύς μοι ἐπέπεσε
καὶ μεταβάσεις τόπων μοι νῦν ὑποτίθεται
ὁ πλανήτης καὶ ἀκάθιστος.

Μάχης καιρός, ψυχή μου,
καὶ σύνθημα πολέμου βαρυτάτου,
γρηγόρησον καὶ νῆψον

Heirm. γ' EE 164, N. 231, Cassianae tributus

32 Ps. 142: 7 **33** Ps. 101: 3 **34** Ps. 87: 3 **37** Jno. 13: 2
38-39 Lu. 12: 35 **40** II Ti. 4: 6 **42-43** Ps. 90: 6

www.tezaurliturgic.ro

καὶ διανάστηθι, τάλαινα,
ὅτι ὁ σὸς ἀντίδικος ὡς λέων δίεισι,
τὸ τίνα καταπίῃ ζητῶν.

Ὄκνῳ κεκρατημένος
κατάκειμαι, τὴν μέλισσαν σπουδαίως
ἐργαζομένην βλέπων
καὶ τὴν τροφὴν ἑτοιμάζοντα
τὴν τοῦ χειμῶνος ἄριστα, θέρους τὸν μύρμηκα
αὐτὸς ἀργοτροφεῖν ἀγαπῶν.

Θ. Ἴλεων ἐν τῇ κρίσει
γενέσθαι μοι τὸν σὸν υἱὸν δυσώπει,
πανάμωμε παρθένε·
ἔργον γὰρ ὅλως οὐ κέκτημαι
προσενεγκεῖν ἀντάξιον τῆς αὐτοῦ χάριτος·
ὅθεν σύ μου τότε πρόστηθι.

Ὠδὴ τετάρτη. *Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν*

Διὰ ποικίλων πόνων, Κύριε,
τοὺς ἁγίους τοὺς σοὺς κακοπαθεῖν ἀφῆκας,
ἵνα στερροὶ καὶ εὔτονοι γένοιντο λαβαῖς
τοῦ δεινοῦ πολεμήτορος ἀντιφέρεσθαι.

F. 100 Ἐν κοινοβίῳ, ψυχή, μείνωμεν
καὶ ἐν ὑποταγῇ καὶ ἔργοις εὐτελέσιν,
ὅπως τὸν ὄκνον φύγωμεν καὶ τὴν μιαρὰν
ἀκηδίαν ταπείνωσιν προσλαβόμενοι.

Στρόφον καὶ φρίκην μοι ἐπήνεγκε
πυρετόν τε δεινὸν τῆς ἀκηδίας δαίμων,
τραπέζης προτεθείσης δὲ εὔτονος ἀνὴρ
ὑγιὴς καὶ γεννάδας ὅλος εὑρίσκομαι.

Heirm. δ′ EE 164, n. 231, Cassianae **57** ἑτοιμάζουσαν exspectaveris

52-53 I Pe. 5: 8

Μή μοι λογίσῃ εἰς κατάκριμα,
Ἰησοῦ ὁ Θεός, τὴν πολλὴν ῥαθυμίαν,
ἣν ἐν εὐχαῖς ἐνδείκνυμαι, σπώμενος ἀεὶ
καὶ χασμώμενος ὅλος καὶ ἐκλυόμενος.

Θ. Ἁμαρτωλῶν τὸ καταφύγιον,
ἡ βεβαία ἐλπὶς τῶν καταπονουμένων,
ἁγνὴ θεογεννήτρια, ῥῦσαι με παθῶν·
ἐπὶ σοὶ γὰρ τὴν πᾶσαν ἐλπίδα κέκτημαι.

Ὠδὴ πέμπτη. *Θεοφανείας σου, Χριστέ,*

Λῦσον ἀλύτοις με δεσμοῖς
νεκροποιοῦ ἁμαρτίας δεθέντα
καὶ ἐν τάφῳ ἀμελείας κείμενον,
ἐξυπνίσας ὥσπερ τὸν Λάζαρον
εὐσχημόνως περιπατεῖν ὡς ἐν ἡμέρᾳ με,
μὴ κώμοις καὶ μέθαις,
μηδὲ τοῖς ἄλλοις κακοῖς, σῶτερ, εὐδόκησον.

Ὕπτιος κείμενος, νοσῶν
καὶ ἡμιθνὴς ἐπὶ κλίνης ὀδύνης
ὡς βαρὺ φορτίον οὐ προσίεται,
ὡσαύτως κἀγὼ συνεχόμενος
ἀκηδίᾳ πρὸς ἀγαθὸν ἔργον ἀδόκιμος
καὶ νωθρὸς ὑπάρχω
τοὺς τόνους γὰρ τῆς ψυχῆς σαφῶς ἐκλέλυμαι.

Σύ, πρὸς τὸ πάθος προσιών,
τοῖς μαθηταῖς γρηγορεῖν ἐνετείλω
καὶ ἐν προσευχαῖς κατασφαλίζεσθαι,
τὸ μὲν πνεῦμα λέγων ὡς πρόθυμον,
ἀσθενὴς δὲ ἡ σὰρξ ἐνστῆναι πρὸς τὸν κίνδυνον·
διὸ κἀμέ, σῶτερ,
δεήσεσι καὶ εὐχαῖς συντόνοις ὅπλισον.

Heirm. ε′ EE 164, n. 231, Cassiae **80** ἐνδείκνυμαι Me in D: ἐνδείκνυμι R

78 Ro. 5: 16 **89** Jno. 11: 43 **90** Ro. 13: 13 **100-104** Mat. 26: 38-41

www.tezaurliturgic.ro

Ὁ τῶν ἁγίων σου ἐχθρὸς
ψυχὴν ἐμὴν κατεδίωξε σφόδρα
καὶ εἰς γῆν ζωήν μου ἐταπείνωσε
καὶ ἐν σκότει φέρων ἐκάθισεν
ἐν νεκροῖς αἰῶνος, οὓς πρὶν φθάσας κατέπιε,
καὶ νῦν ἀκηδίᾳ
τὸ πνεῦμα μου συνεσχέθη· Χριστέ, πρόφθασον.

Θ. Νέαν σκηνὴν περικαλλῆ
καὶ ἱερὸν οἶκον σε τοῦ Θεοῦ μου,
παναγία κόρη, ἐπιστάμενος,
σοὶ παραρριπτεῖσθαι προῄρημαι
F. 100v ἢ οἰκεῖν με ἁμαρτωλῶν ἐν τοῖς σκηνώμασι
καὶ σοῦ ἐμφορεῖσθαι
τὴν ἄρρητον καλλονὴν καὶ ὡραιότητα.

Ὠδὴ ἕκτη. *Συνεσχέθη*

Παντὶ ἔργῳ
τάξον σαυτῷ μέτρον,
οὑπερ μηδαμῶς ἀποστῇς,
πρὶν ἢ τελέσῃς τοῦτο,
καὶ προσεύχου τῷ Θεῷ εὐτόνως
καὶ ἀκηδίας πνεῦμα ἐκ σοῦ φεύξεται·
εἰ δὲ μή, λοιπόν σοι συγγηράσει,
πρὸς ἡσυχίαν ἀδόκιμον καθιστῶν
καὶ πρὸς ἐντολὴν Θεοῦ ἀκίνητον.

Ἀκηδίας
ἀλλ᾽ οὐκ ἐργασίας
ἔχων καιρὸν τὸν τῆς ζωῆς,
τὸ τάλαντον ἀφρόνως,
ὅπερ εἴληφα, τῇ γῇ συγκρύψας

Heirm. ς′ EE 164, n. 231, Cosmae **126** σοι om. R

107-113 Ps. 142: 3-4 **114** Cfr. Ex. 26: 1 sqq. **117-118** Ps. 83: 10
133-134 Mat. 25: 15-28

καὶ καταχώσας τῶν παθῶν τῷ χώματι,
τίς γενήσομαι συνᾶραι λόγον,
ἐπανελθόντος μοι τοῦ Κυρίου μου; σοῦ
μόνῃ εὐσπλαγχνίᾳ, Χριστέ, σῶσον με.

Νυκτινόμων
πετεινῶν ζηλώσας
βίον ὁ δείλαιος, νυκτὶ
καὶ σκότῳ διαιτῶμαι
καὶ τὸ φῶς μισῶ τὰ φαῦλα πράσσων,
τοὺς μὲν ἀνθρώπους φεύγων ἐν προσχήματι
ἀρετῆς, τὴν δὲ κακίαν θάλπων
ὡς ὑποκόλπιον ὄφιν ἐν φωλεῷ
καταδεδυκὼς τῆς ἀπογνώσεως.

Τραυματίαι
καθεύδοντες τάφῳ,
ὧν οὐκ ἐμνήσθης ὁ Θεός,
καὶ αὐτοὶ τῆς χειρός σου
νῦν ἀπώσθησαν οἱ λογισμοί μου
ὡς ἐλεήμων τούτους ἐπανάγαγε
καὶ ἀνάστησον ἐκ κατωτάτου
καὶ ἰασάμενος ἴθυνον τῷ φωτὶ
τῷ τῶν προσταγμάτων σου πορεύεσθαι.

Θ. Ἀπὸ βρέφους
εἰς σὲ ἐπερρίφην
καὶ ἐκ μητρώας μου γαστρὸς
ἐν σοὶ ἐπεστηρίχθην
ὁ πτωχός σου δοῦλος, Θεοτόκε·
σύ μου προστάτις ἐν κινδύνοις γέγονας,
σὺ καὶ μέχρι τέλους με φυλάττοις
παθῶν τοῖς πνεύμασιν ἄσειστον, ἀκλινῆ
καὶ ταῖς περιστάσεσιν ἀνένδοτον.

136 Mat. 25: 19 **139-141** Cfr. Ps. 101: 6 **148-152** Ps. 87: 5
154 Cfr. La. 3: 55 **155-156** Is. 26: 9 **159** Ps. 21: 10

www.tezaurliturgic.ro

Κάθισμα. *Ἐλπὶς τοῦ κόσμου ἀγαθή*

Πίστιν, ἐλπίδα ἀσφαλῆ
καὶ ἀγάπην τελείαν
ἀξίωσόν με προσλαβεῖν
τρία ταῦτα, σωτήρ μου,
F. 101 οἷς βέλεσιν ἐκσφενδονήσω τὸν ἐχθρόν,
αἷς πνεύσεσι ζωοποιήσω τὸν νεκρόν,
τὸν νοῦν μου, καὶ παλίνδρομον
ἐξ Ἅδου πρὸς ζωὴν ἐρχόμενον ὄψομαι.

Ὠδὴ ἑβδόμη. *Ἄφραστον θαῦμα*

Νεῦρα μὴ ἔχων
ἐν τῇ ψυχῇ γενναιότητος
καὶ ἀνδρείας,
ἐν τοῖς πειρασμοῖς
πίπτω παρευθὺς
ὡς νοσῶν κακόσιτος,
οὐ τὴν τροφὴν τῆς δυνάμεως προσθήκην,
ἀλλὰ νόσου ποιούμενος αἰτίαν.

Ἀπὸ βλεφάρων
πηγὴν δακρύων ἀείρρυτον,
ἐκ καρδίας
θέρμην προσευχῆς
καὶ νοῦ φυλακὴν
ἀκριβῆ μοι δώρησαι,
δι᾽ ὧν τοὺς τρόπους καὶ δόλους τῶν πνευμάτων
δυνηθῶ, Ἰησοῦ μου, διαφεύγειν.

Ξύλον γενέσθαι
ἐν διεξόδοις ὑδάτων με
τῶν δακρύων

Heirm. cath. ER 479 **Heirm. ζ′** EE 164, n. 231, Cosmae
183 ἀείρρυτον (sic) Me in D

166-167 I Co. 13:.13 **190-191** Ps. 1: 3

ποίησον, σωτήρ,
ὅπερ τὸν καρπὸν
δώσει ἐν καιρῷ αὐτοῦ,
ἵνα μὴ γένωμαι χνοῦς, ὑπὸ ἀνέμου
ἀκηδίας ῥιπτόμενος ἀτάκτως.

Σὲ τὸν δεσπότην
τοῦ ἀμπελῶνος, φιλάγαθε,
ὁ ἐργάτης
σοῦ ὁ ὀκνηρὸς
ἱκετεύω νῦν·
μὴ ἀποστερήσῃς με
τοῦ ἴσου μισθοῦ τοῖς βάρος τῆς ἡμέρας
καὶ τὸν καύσωνα ὅλον ἐνεγκοῦσιν.

Θ. Ὡς ὑπερτέραν
τῶν ἀνωτάτω σε τάξεων
καὶ τῆς ὅλης
κτίσεως, ἁγνή,
τὴν ὑπεροχὴν
ἀσύγκριτον ἔχουσαν
ὁ ἀγεννὴς καὶ ταλαίπωρος σου δοῦλος
ἱκετεύω τὸν νοῦν μου ἀνυψῶσαι.

Ὠδὴ ὀγδόη. *Νόμων πατρῴων οἱ μακαριστοί*

Δεσπόταις δοῦλος ὁ ταλαίπωρος
ὠμοῖς ἐπράθην, οἴμοι, τοῖς ἐμοῖς πάθεσιν
ἐξ ἑτέρου μεταγόμενος
πρὸς ἕτερον ἀθλίως
καὶ παρ᾽ ἑκάστῳ
πληγαῖς μαστιζόμενος σφοδρῶς·
ὁ κηρύξαι τὴν ἄφεσιν ἐλθὼν τοῖς αἰχμαλώτοις,

Heirm. η′ EE 163, n. 229, Cosmae

194-196 Ps. 1: 3-4 **198-199** Mat. 20: 8 **204-205** Mat. 20: 12-14
220 Mat. 26: 28

www.tezaurliturgic.ro

ἐλεύθερον ἐκ τούτων με δεῖξον
καὶ συγκληρονόμον τῆς πατρικῆς σου δόξης.

Ὁ τῶν λοιπῶν παθῶν ἀκόλαστος
ὄχλος κρατεῖται πάντως τοῖς ἐναντίοις καλοῖς,
ἀκηδία δὲ τὴν σύμπασαν
ἀρετὴν καταργοῦσα
F. 101v ψυχῆς ὑπάρχει
θάνατος ὁ περιεκτικός·
ταύτῃ σπεῦσον γραμμάτιον ἀποστασίου δοῦναι
καὶ οὕτως ἡσυχάσεις ἐν λόγῳ
καὶ καρποὺς ποιήσεις πράξεων ἐναρέτων.

Ὑπὸ ἀπείρου ἀγαθότητος
ἐπὶ τὸ σῶσαι κόσμον παραγενόμενος,
καθ' ἡμᾶς ὁ ἀναλλοίωτος
γενόμενος, οὐ μένων
ἐφ' ἑνὶ τόπῳ
τοὺς προσερχομένους ὠφελεῖς,
ἀλλ' αὐτὸς προσερχόμενος, κόπῳ, πείνῃ καὶ δίψῃ
τὸ ἄχραντόν σου σῶμα ἐκδίδως,
ἵνα ἐργασίας ἡμῖν μέτρα τυπώσῃς.

- Λέγε μοι σύ, ὁ ὅλος ἔκλυτος
καὶ παρειμένος, τίνες οἱ σὲ γεννήσαντες
καὶ τίνες οἱ πολεμοῦντες σε
καὶ πάντῃ ἀναιροῦντες.
- Ἐμὲ γεννῶσιν
ἡ ἀναισθησία τῆς ψυχῆς
καὶ ἡ λήθη τῶν ἄνωθεν καὶ οἱ ἄμετροι κόποι,
ἐμοὶ δὲ πολεμεῖ ψαλμῳδία,
θανατοῖ δὲ πάμπαν προσευχὴ μετ' ἐλπίδος.

Θ. Ὥσπερ ἡ χήρα, ἃ ἐκέκτητο,
περιουσίαν πᾶσαν καὶ τῆς ζωῆς ἀφορμὴν
θερμοτάτῃ προσεκόμιζε
προαιρέσει πλουσίως,

229 De. 24: 3 **233** Jno. 12: 47 **237** κόπος Jno. 4: 6
πείνα Mat. 4: 2; 12: 3 δίψα Jno. 19: 28 **250-253** Mar. 12: 42-43

καὶ ἡ ψυχή μου
οὕτως ἡ χηρεύσασα, σεμνή, τῆς ἁγίας τοῦ πνεύματος
τοῦ θείου συζυγίας,
τὸν ὕμνον καὶ τὴν δέησιν δύο
γνώμῃ φιλοτίμῳ λεπτά σοι προσκομίζει.

Ὠδὴ ἑνάτη. Μὴ ἐποδύρου μου, μῆτερ,

Μή με ὡς ἄκαρπον κλῆμα
καὶ συκῆν καταργοῦσαν
τὴν γῆν, Χριστέ, διακενῆς ἐκκόψῃς, ἀλλὰ δὸς
μετανοίας καιρόν· ἴσως ποιήσω καρπόν·
εἰ δὲ μή, εἰς τὸ μέλλον
ἐκκόψεις με πικρῶς
καὶ εἰς πῦρ ἀποπέμψῃς, οἴμοι, τὸ ἄσβεστον.

Ἁμαρτημάτων τῷ βάρει
πιεζόμενος σφόδρα
καὶ ἀκηδίας κύφωνι δεινῷ τὸν τῆς ψυχῆς
συγκαμπτόμενος νῶτον, ἐπὶ σοὶ προσφυγὼν
ἱκετεύω, σωτήρ μου
ὡς ἔσωσας ποτὲ
τὴν συγκύπτουσαν, λόγῳ κἀμὲ ἀνόρθωσον.

Ῥέων ὁ χρόνος, ψυχή μου,
δαπανᾷ τὴν ζωήν σου
F. 102 τὴν ἐν σαρκί, γοργῶς τῷ τέλει παραπέμπων αὐτήν·
ἵνα τί ῥαθυμεῖς; ἔργα ἑτοίμαζε
πρὸς τὴν ἔξοδον ἤδη
καὶ τὰ εἰς τὸν ἀγρόν
τὸν τῆς κρίσεως χρήσιμα παρασκεύασαι.

Καταποθὲν τῆς σαρκός μου
τὸ νεκρῶδες φορτίον,

Heirm. θ' EE 165, n. 231, Cosmae

258 Jno. 15: 2-6 **259** Mat. 21: 19-20 **263** Mat. 7: 19
270-271 Lu. 13: 11-13

www.tezaurliturgic.ro

τῷ τῆς ζωῆς εἰξάτω θείῳ πνεύματι λοιπόν,
ὁ Χριστὸς κελεύει·
σὺ μὴ ἀντίτεινε, σοφιστὰ τῆς κακίας·
εἰς θάλασσαν ὡς πρὶν
λεγεὼν ὁ ἀτάσθαλος ἀποφθάρηθι.

Θ. Ὦ παναγία παρθένε,
τοῦ ἐμοῦ καύσου δρόσος
τῆς ξηρανθείσης μου καρδίας ἄλυπος ῥανίς,
ὦ λαμπὰς τῆς ζοφώδους διανοίας μου,
ὦ καλή μου προστάτις,
ὦ πάντων ἀγαθῶν
χορηγός, κἀν τῷ μέλλοντι σύ μου πρόστηθι.

*

284-285 Mar. 5: 9-13 **289** Cfr. Ex. 20: 18

**XXIIᴮ. Κανὼν ζ^ος κατὰ κενοδοξίας, οὗ ἡ ἀκροστιχίς·
Δόξης κενῆς φύσημα κατενεκτέον ἁμαρτωλῷ Μάρκῳ.**

F. 102- <a> Δόξα βροτῶν πέφυκεν οὐδὲν καὶ μέγα·
μέγα πλανῆσαι καὶ τὸ μηδὲν τὴν φύσιν.

<b> Δόξαν κενὴν γίνωσκε μηδὲν καὶ σπάθα,
ἐν οἷς ἀδοξεῖς ὡς καθημένης ῥάκος.

Ὠδὴ πρώτη. Ἦχος βαρύς. Νεύσει σου πρὸς γεώδη

Δύναμιν τὴν ἐξ ὕψους
κατὰ παθῶν ἔνδυσον με,
σοφία καὶ δύναμις
Θεοῦ ἡ ἐνυπόστατος,
ὅπως τῆς τούτων μανίας
ἐλευθερωθεὶς μεγαλύνω τὸ κράτος σου.

Ὄφις ὁ πλάνος με πείσας
τῇ τῆς θεώσεως δόξῃ
προσέχειν, ἐστέρησε
τῆς ἀληθοῦς θεώσεως
καὶ τῆς ἀμείνονος δόξης,
ἀποβουκολήσας δολίως ἠτίμωσεν.

Ξένος ἐν τοῖς ἰδίοις
ἐλθὼν ὁ πάντων δεσπότης,
τὸν ξένον δοξάσαι με
καὶ οἰκειῶσαι χάριτι
πατρὶ ἀνάρχῳ, οἰκτίρμον,
ὑπὸ τῶν οἰκείων οὐδαμῶς προσδέδεξαι.

Ἧττονα τῆς ἀδόξου
δόξης τὸν νοῦν κεκτημένος,

Heirm. α' EE 198, n. 280, Joannis

b2 Is. 64: 6 **1-2** Ps. 17: 32 **3-4** I Co. 1: 24 **7-9** Ge. 3: 1-7 **13** Mat. 25: 35; Jno. 1: 11

www.tezaurliturgic.ro

ὡς φύλλον ῥιπίζομαι
σαφῶς ταῖς ἐναντίαις πνοαῖς
καὶ καταγέλαστος ὅλος
ἐν ποικιλομόρφοις ἰδέαις προφαίνομαι.

Θ. *Σέ, τὴν τεκοῦσαν λόγον,*
τὸν αἵματι τῷ ἰδίῳ
εἰρηνοποιήσαντα
τὰ διεστῶτα, πάναγνε,
καθικετεύω τὸν νοῦν μου
F. 102v *εἰρηνοποιῆσαι ἐκ παθῶν καὶ σῶσαι με.*

Ὠδὴ τρίτη. Ὁ κατ' ἀρχὰς τοὺς οὐρανούς

Καταφρονήσας θησαυρῶν
τῶν τῆς Αἰγύπτου καὶ δόξης
ὁ Θεοῦ θεράπων Μωϋσῆς
τὸν ὀνειδισμὸν Χριστοῦ προείλετο·
ὅθεν τὴν δόξαν τοῦ Θεοῦ
αὐτοπροσώπως φανεῖσαν
ἰδών, ἐδοξάσθη καὶ τὸ πρόσωπον.

Ἐν ἀπορίᾳ τῆς Θεοῦ
δόξης περίειμι, τάλας,
παρ' ἀνθρώπων δόξαν προσαιτῶν·
ἐν δικαιοσύνῃ δός ὀφθῆναί με
σοῦ τῷ προσώπῳ Ἰησοῦ,
ἐν τῷ ὀφθῆναί μοι δόξαν
τὴν σὴν χορτασθῆναί με ἀξίωσον.

Νικῆσαι ἔθνη τὰ ἑπτὰ
διὰ Μωσέως, ψυχή μου,
ὁ Θεός κελεύει σοι λοιπόν·
«ἀνάστα σφοδρῶς, οὐ καταλείψεις ἐν

Heirm. γ′ EE 198, n. 280, Joannis **25** λόγον Me in D: λόγῳ R

26-28 Col. 1: 20 **34** He. 11: 26 **35-37** Ex. 34: 29-35 **40** Jno. 5: 41
41 Ps. 16: 14 **44** Ps. 16: 13 **45-46** De. 7: 1-2 **48** De. 7: 20

ἐκ τούτων μεῖναι ἐν τῇ γῇ
τῆς διανοίας, ἣν ὅρκῳ
ὤμοσέ σοι Κύριος χαρίσασθαι.

Ἡ τοῦ Θεοῦ διὰ σαρκὸς
ἐπιδημία τῷ κόσμῳ
ταπεινοφροσύνης ἐναργοῦς
σωτήριον πρόγραμμα, ἣν ἄβατον
οὖσαν ὁδὸν τῆς ἀρετῆς
ἐνανθρωπήσας ὁ λόγος
ἔτεμεν ἡμῖν εἰς σωτηρίαν ψυχῶν.

Θ. *Σαλευομένην προσβολαῖς*
τῶν τῆς κακίας πνευμάτων
τὴν ψυχήν μου στήριξον, ἁγνή,
ἐν πέτρᾳ Θεοῦ τῆς ἐπιγνώσεως
καὶ ἀραρότως ἐν τοῖς ἀγαθοῖς
ἔργοις ἀξίωσον μένειν,
τὸ ὄρος Θεοῦ τὸ ἀλατόμητον.

Ὠδὴ τετάρτη. Ὁ πατρικοὺς κόλπους μὴ λιπών

Φανητιῶν καὶ δουλοπρεπῶς
ὑποκλινόμενος τοῖς δόξῃ μείζοσιν,
ἐπιδείκνυμαί ἀσέμνως αὐτοῖς
τὰ σεμνὰ τῆς φύσεως
δῶρα καὶ Θεοῦ τοῦ ποιήσαντος.

Ὑπὸ τῆς σῆς, λόγε, δεξιᾶς
ὁδηγηθείην ἀσφαλῶς ὁ δοῦλος σου
μετὰ δόξης προσληφθείην τε
καὶ σκηναῖς οἰκήσαιμι
ταῖς ἐπουρανίοις γηθόμενος.

Σκορπιστικὴν καὶ φθοροποιὸν
τῶν ἀγαθῶν κακίαν, ψυχή, φύγωμεν,

Heirm. δ′ EE 198, n. 280, Joannis

50-51 De. 34: 4 **62** Mat. 7: 24; Col. 1: 10 **65** Da. 2: 34-45

www.tezaurliturgic.ro

ἀπιστίας Θεοῦ ἔκγονον
ἐν ἄλωνι μύρμηκα
καὶ ἐν τῷ λιμένι ναυάγιον.

F. 103

Ἡ μιαρὰ οἴησις ποτὲ
τὸν Φαρισαῖον ἐκ τοῦ ὕψους ἔρριψεν,
τὸν τελώνην δὲ ἀνύψωσεν
ἡ θεία ταπείνωσις·
ταύτῃ τῇ ὁδῷ, ψυχή, βάδισον.

Θ. Μεταβολῆς πάσης καὶ τροπῆς
ἄνευ ὁ λόγος ἐπὶ σοὶ ἐσκήνωσε,
παναγία μητροπάρθενε,
τοὺς ῥεύσαντας ἄνωθεν
ἐπανάγων εἰς τὸ πρωτότυπον.

Ὠδὴ πέμπτη. Κύριε, ὁ Θεός μου

Ἄρξαι τῶν ψυχικῶν με
καὶ σωματικῶν εὐδόκησον, σῶτερ,
παθῶν τῇ δυνάμει σου
καὶ ἐπανιστάμενον
τὸν τῆς ἁμαρτίας μοι νόμον
τῷ νόμῳ δουλῶσαι τοῦ πνεύματος.

Κύριε ὁ Θεός μου,
τὴν σὴν δόξαν μόνην ἀεὶ ζητεῖν με
τὴν δόξαν ἐκφεύγοντα
τῶν ἀνθρώπων ποίησον,
ἵνα σοι πιστεύσω βεβαίως·
ἄλλως γάρ, ὡς ἔφης, οὐ δύναμαι.

Αἰσχύνην αἰωνίαν
τὴν ἐπὶ τοῦ μέλλοντος κριτηρίου

Heirm. ε′ EE 198. n. 280, Joannis

81-84 Lu. 18: 9-14 **95-96** Ro. 8: 2 **97-101** Jno. 7: 18

μηδόλως φοβούμενος,
αἰσχύνην πεφόβημαι
τὴν ἐπὶ ἀνθρώπων, ὁ τάλας,
ὅθεν καὶ δικαίως καταισχύνομαι.

Τὴν παρυφισταμένην
τοῖς ἀντικειμένοις κενοδοξίαν,
σκύλλαν ποικιλόμορφον,
ὕδραν πολυκέφαλον,
δεινὸν πυρὸς πνέουσαν μένος
χίμαιραν, ψυχή μου, κατακτείνωμεν.

Θ. Ἐν τῇ ὁδῷ τῶν θείων
τοῦ Θεοῦ με τέρπεσθαι μαρτυρίων
ἀξίωσον, δέσποινα,
τὴν τέρψιν ἐκκλίνοντα
τὴν ἐξ ἀνθρωπίνων ἐπαίνων
καὶ τὴν τῆς καρδίας διάχυσιν.

Ὠδὴ ἕκτη. Ναυτιῶντα σάλῳ

Νηστεύω ἀμίσθως·
ἵνα γὰρ φανῶ τοῖς ἀνθρώποις,
ἀκαίρως προσεύχομαι·
καὶ γὰρ τοῦτο
πρὸς τὸ θηρᾶσαι ἀνθρώπινον ἔπαινον·
Κύριε Θεέ μου, μεταστρέψαις
τὴν διεστραμμένην μου ψυχὴν πρὸς σὲ ἀφορᾶν.

Ἐν τῇ ταπεινώσει
τοῦ Σωτῆρος ἡ κρίσις ἤρθη·
ἀχθεὶς γὰρ ὡς πρόβατον
εἰς θυσίαν
καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος,

Heirm. ς′ EE 202, n. 286, Cosmae

115-116 Ps. 118: 14 **128-129** Ac. 8: 33 **130-132** Is. 53: 7

www.tezaurliturgic.ro

τὸν Λευϊαθὰν ἀρχὸν ὑδάτων
σνοῦν τὸν μέγαν τὸν Ἀσσύριον κατέρραξεν.

F. 103^{v} *«Κατακυριεύειν*
τῶν ἐθνῶν τοῖς ἄρχουσι πρέπει,
ὑμῶν δὲ ὁ μέγιστος
ἔστω πάντων
ὡς ὁ νεώτερος», εἶπας τοῖς σοῖς μαθηταῖς
τύπον ἑαυτὸν παρέχων, σῶτερ,
ταπεινοφροσύνης καὶ πολλῆς πραότητος.

Τὴν ὁδὸν τοῦ βίου
νῦν διερχομένη, ψυχή μου,
ληστῶν, κλεπτῶν γέμουσαν,
ἀσφαλίζου
μὴ συληθῆς θησαυρὸν τὸν τῆς χάριτος·
ἔστι γὰρ εὐάλωτος, τοῖς κλέπταις,
ἂν ἐπιδεικνύμενος αὐτοῖς προφαίνηται.

Θ. *Ἐν σοὶ κατοικήσας*
τοῦ Θεοῦ ὁ λόγος, παρθένε,
τὴν πρώην οἰκήσασαν
ἁμαρτίαν
ἐν τῷ Ἀδὰμ ἐξοικίσας, ἐπλήρωσε
χάριτος ἡμᾶς καὶ ἀληθείας,
οἷς διὰ τῆς πίστεως αὐτὸς ἐνῴκησεν.

Κάθισμα. *Ὡς ἔχουσα τοὺς οἰκτιρμούς*

Ἡ ἄνωθεν πνοὴ βιαία τοῦ παρακλήτου, Χριστέ,
ἡ πλήσασα τοὺς ἀποστόλους ἐν γλώσσαις ξέναις πυρός,
συμφλέξειε τὴν μοχθηρίαν τῆς ψυχῆς μου,
καινίσειέ με ἄνωθεν

Heirm. cath. Heirm. ineditus videtur

133-134 Cfr. Ps. 73: 13 **135-139** Lu. 22: 25-26
145-147 Cfr. Mat. 6: 19-20 **153-154** Jno. 1: 14 **155** II Ti. 1: 5
156-157 Ac. 2: 2-4

δοχεῖον σου χωρητικόν,
ὅπως σου τὰ θαυμάσια πάντα ἐκδιηγῶμαι.

Ὠδὴ ἑβδόμη. *Κάμινον παῖδες*

Ὁ ἐπιβλέψει
τὴν γῆν ποιῶν τρέμειν,
ὁ τῶν ὀρέων ἁπτόμενος
καὶ ἐκ τοῦ φόβου καπνίζονται, σύστειλον
τὸ φυσῶδες οἴημα
τῆς ἐμῆς διανοίας εἰς ὕψος ἀρθέν.

Νενεκρωμένη
ψυχὴ τῇ κακίᾳ
καὶ σεσηπυῖα τοῖς πταίσμασιν,
οὐκ ἐπαισθάνῃ τῆς σῆς ἀθλιότητος,
πρὸς τὴν δόξαν βλέπουσα
τῶν ἀνθρώπων· οὐαί σοι ἐν τῷ κρίνεσθαι.

Ἄφαντος πλοῦτος
ψυχῆς ὑπὸ γλώσσης
ἀνορυττόμενος γέγονεν·
ὡς ὀφθαλμοὺς γὰρ οἱ κόρακες σώματος
οὕτως ἐξορύττουσι
λογισμοὺς σωφρονοῦντας οἱ κόλακες.

Μὴ παραδέξῃ,
ψυχή μου, τὸν κύνα,
ἐπισκοπὰς ὑποβάλλοντα,
ἡγουμενείας καὶ δόξαν τὴν πρόσκαιρον·
καὶ γὰρ ἀτιμίαν σοι
δολερῶς συσκευάζει ὁ δόλιος.

F. 104 **Θ.** *Ἄχραντε μῆτερ,*
Θεοῦ τοῦ ὑψίστου

Heirm. ζ' EE 198, n. 280, Joannis

161 Si. 42: 17 **162-165** Ps. 103: 32

www.tezaurliturgic.ro

ἐλεεινῶς ὑψωθέντα με
καὶ παναθλίως πεσόντα ἀνόρθωσον,
δόξαν τὴν πρόσκαιρον
καταπτύειν γενναίως ἐνισχύουσα.

Ὠδὴ ὀγδόη. Ἄφλεκτος πυρί

Ῥήματα ζωῆς,
αἰωνίου, σῶτερ, ἔχεις·
πρὸς τίνα ἀπελεύσομαι; Σὺ εἶ Χριστός, Θεοῦ τοῦ ζῶντος υἱός,
σὺ δόξης ἀληθινῆς
καὶ ἀϊδίου ἀξιοῖς τοὺς σὲ δοξάζοντας,
σύ με προσμένειν βεβαίως τῇ δόξῃ σου παράσχου
καὶ κατατρυφᾶν σου τοῦ ἀπορρήτου κάλλους.

Τὰς σὰς ἀρετὰς
ὁ λησταὶς δημοσιεύειν
ὡς δῆθεν πρὸς ὠφέλειαν τῶν ἀκουόντων ὑποβάλλει, ψυχή·
ἀπόστα τῆς συμβουλῆς·
ἤθει μετρίῳ καὶ ἁπλῷ λόγῳ τοὺς χρήζοντας
μᾶλλον ὠφέλει γνησίως· καὶ σιωπῶσα πρᾶξις
οἶδεν ὠφελεῖν γὰρ κρεῖσσον ἀπράκτου λόγου.

Ὥσπερ τοῖς παισὶν
ἔθος ἔστιν ἀναπλάττειν
ἀρχὰς καὶ ἀξιώματα καὶ θρόνων ὕψη καὶ τιμὰς ἐκπρεπεῖς,
οὕτως ὁ φρενοβλαβὴς
ἐγὼ φαντάζομαι τοῖς λογισμοῖς καὶ ἥδομαι,
καταγελάστους προγράφων ἐμαυτῷ προεδρίας·
ῥῦσαι με, Χριστέ μου, τῆς νηπιώδους πλάνης.

Λέντιον λαβών,
ὁ δεσπότης, διεξώσω
καὶ μαθητῶν σου ἔνιψας πόδας ὡραίους, ὑπογράφων ἡμῖν
ταπείνωσιν ἀληθῆ,
ἣν διὰ πράξεως μιμήσασθαι ἐκέλευσας·

Heirm. η′ EE 202, n. 286, Cosmae **207** ἐκπρεπεῖς Me in D: εὐρεπεῖς R

192-193 Jno. 6: 68 **194** Mat. 16: 16
213-215 Jno. 13: 4-5 **215** Ro. 10: 15

ὅθεν γνησίως κἀμὲ ὑπουργεῖν ἐν ταπεινώσει
δίδου τῷ πλησίον ἐξ ὅλης μου καρδίας.

Θ. *Ὤφθης ἱερὸν*
καὶ πανάγιον δοχεῖον,
τὸ νοητὸν ἁγίασμα καὶ ἐκλεκτὸν καὶ πολυτίμητον
καὶ μύρον τὸ σκευασθὲν
οὐκ ἀνθρωπίνῃ μηχανῇ καὶ τέχνῃ, πάναγνε,
μόνῃ πατρὸς δὲ βουλήσει καὶ πνεύματος ἁγίου
τῇ ἐπιφοιτήσει χωρήσασα ἀξίως.

Ὠδὴ ἐνάτη. Μὴ τῆς φθορᾶς διαπείρᾳ κυοφορήσασα

Μὴ εὑρεθεὶς ὁ ἀγνώμων ἐν τοῖς ὀλίγοις πιστός–
τοῖς φυσικοῖς γὰρ χαρίσμασι πεφυσίωμαι–
πῶς τῶν μεγάλων τε
καὶ ὑπὲρ φύσιν δώρων
ἄξιος εὑρεθείην
F. 104v *σὺ μόνος σωτήρ μου,*
τὴν κακίστην ἕξιν μετάβαλε.

Ἄνθρωπε, τί καλὸν ἔχεις, ὅπερ οὐκ ἔλαβες
Εἰ δὲ καὶ ἔλαβες, τί μοι καυχᾶσαι ὡς μὴ λαβών;
Ὦ τῆς πωρώσεως,
ὦ τῆς ἀναισθησίας·
ἐπίγνωθι τὸν κτίστην,
ἐπίγνωθι τὸν δότην
ἀγαθοῦ παντὸς Θεόν, ἄνθρωπε.

Ῥέοντι πλούτῳ καρδίᾳ ὅλῃ προσθέμενος,
ἱματισμοῖς πολυχρόοις καὶ οἴκων κάλλεσι
πεφιλοτίμημαι,
μὴ ἐννοῶν ὡς χόρτος
ἀνθρώπου πᾶσα δόξα.

Heirm. θ′ EE 202, n. 286, Cosmae

223 Ca. 1: 3 **227** Mat. 25: 21-23 **234-235** I Co. 4: 7
244-245 Ps. 40: 6

www.tezaurliturgic.ro

Ὁ χόρτος ἐξηράνθη
καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν.

Κεκαθαρμένην καρδίαν κτίσον μοι, Κύριε,
πνεῦμα εὐθὲς τοῖς ἐγκάτοις ἐμοῖς ἐγκαίνισον,
ἵνα προσφέρω σοι
θυσίαν ὡς εὐώδη
πνεῦμα συντετριμμένον
καὶ τεταπεινωμένον,
ἐν ᾧ οὐκ ἐξουδενωθήσομαι.

Θ. Ὦ τοῦ μεγάλου Θεοῦ μου πόλις ἡ ἔνδοξος,
δεδοξασμένα τῷ ὄντι καὶ ἀξιάκουστα
δι' ἣν λελάληται,
μεγάλυνον τὸν νοῦν μου
καὶ ὕψωσον πρὸς δόξαν
τὴν θεϊκήν, τῆς δόξης
τῶν ἀνθρώπων καταφρονήσαντα.

*

246-247 Is. 40: 6-7 Ps. 102: 15 **248-249** Ps. 50: 10
251-254 Ps. 50: 17 **255-257** Ps. 86: 3
259-261 Jno. 12: 43

XXII[h]. Κανὼν η[ος] κατὰ τῆς ὑπερηφανίας, οὗ ἡ ἀκροστιχίς·
Τέλος διώκω τὴν μεγάλαυχον νόσον ὁ ἄθλιος Μάρκος.

F. 104[v] <a> Οἰήσεως δὲ τὴν ἐπηρμένην φύσαν
τίς ἀγνοεῖν ἔοικε δαιμονεργάτιν;

<b> Φεύγωμεν οὐκοῦν εὐσθενῶς Ἅδου πύλας,
τὰς ψυχοπομποὺς εἰς τὸ Κερβέρου στόμα.

Ὠδὴ πρώτη. Ἦχος πλάγιος δ'.
Ἁρματηλάτην Φαραὼ ἐβύθισε

Τῷ φοβερῷ καὶ ἀκοιμήτῳ ὄμματι
ὁ ἐπιβλέπων τὴν γῆν,
ποιῶν αὐτὴν τρέμειν,
παντοκράτορ Κύριε,
οὐ ἀπειλῇ ξηραίνονται
ἄβυσσοι καὶ τὰ ὄρη
μόνῳ τῷ νεύματι τήκονται,
σὲ μόνον φοβεῖσθαι με δίδαξον.

Ἐπὶ τὴν γῆν ἐξ οὐρανοῦ πεμπόμενος
ὁ ἑωσφόρος ποτέ,
τὰς ἱερὰς τάξεις
τῶν ἄνω δυνάμεων
ἐν φόβῳ παρεσκεύασε
καὶ ἀγάπῃ σταθῆναι·
σὲ δέ, ψυχή, τὸ ὑπόδειγμα
φόβῳ οὐδαμῶς ἐσωφρόνισε.

Λύμης ἐσχάτης ἐξελοῦ με, Κύριε·
καὶ γὰρ αὐτὸς τυφωθεὶς
εἰς τὸ αὐτὸ κρίμα
καὶ παγίδα ἔπεσον

Heirm. α' EE 219, n. 314, Joannis

2-3 Ps. 103: 32 **5-6** Cfr. Is. 44: 27 **6-7** Ps. 96: 5
8 Ps. 33: 11 **9-10** Is. 14: 12

www.tezaurliturgic.ro

F. 105

τοῦ πρὶν ἀποστατήσαντος
καὶ ἐμὲ τῷ ὁμοίῳ
συγκαταρράξαντος πτώματι
πόθῳ τῆς ἀκαίρου θεώσεως.

Οἴμοι, ψυχή μου, πῶς ἑτοίμως ἤκουσας
τῆς πονηρᾶς συμβουλῆς,
ὥσπερ ἡ πρὶν Εὔα;
πῶς Θεὸν κατέλιπες,
τὸν ποιητὴν καὶ Κύριον;
πῶς ἐγεύσω τοῦ ξύλου
τοῦ ἀπευκτοῦ; πῶς τὴν γύμνωσιν
ἔγνως σεαυτῆς καὶ τὴν ἔκπτωσιν;

Θ. *Σὲ τὴν ἐν σπλάγχνοις δεξαμένην, ἄχραντε,*
τὸ πῦρ τὸ ἄστεκτον,
ἐκδυσωπῶ πίστει·
τῆς γεέννης λύτρωσαι
καὶ τοῦ πυρὸς τοῦ μέλλοντος
λαβροτάτῳ πυρί με
ἁμαρτιῶν φλογιζόμενον
καὶ ἐμῆς γεέννης ἐσθιόντα.

Ὠδὴ τρίτη. Ὁ στερεώσας κατ' ἀρχάς

Διανοούμενος ὁμοῦ
καὶ πρακτικῶς τὴν κακίαν
ἐνεργῶν ὁ ἀσυνείδητος ἔτι,
λογισμῷ φρενοβλαβεῖ
τῶν ἄλλων κατεπαίρομαι,
δικαιοσύνης δόξῃ
ματαίᾳ σοβαρευόμενος.

Ἰὸν ὀλέθριον ἐχθροῦ
χανδὸν ὁ δείλαιος σπάσας,

Heirm. γ' EE 219, n. 314, Joannis

22-24 Ge. 3: 1-6 **25-32** Ge. 3: 1-24

τῶν οὐδέν μοι προσηκόντων ἐκτόπως
ἐφιέμενος, διψῶ
καὶ ἀναξίως ἅπτομαι
ὡς ὁ Ὀζίας πάλαι,
λέπραν ψυχῆς κομιζόμενος.

Ὢ φρικαλέας ἀπειλῆς·
«ὁ ἀρνησάμενος», ἔφη,
«τὴν ἐμὴν παντουργικὴν δυναστείαν»,
ὁ δεσπότης, «ἐπὶ γῆς
ἐν οὐρανοῖς ἐνώπιον
τῶν τοῦ Θεοῦ ἀγγέλων
εὐλόγως ἀπαρνηθήσεται».

Κατὰ διάνοιαν ἀρθεὶς
εἰς ἐπουράνιον ὕψος
εἰς ἀβύσσου κατερράγην πυθμένα,
ὡς πομφόλυξ εὐτελὴς
περιρραγεὶς ὁ δύστηνος
καὶ ὡς θαλάσσης κύμα
διαλυθεὶς ὅ,τι τάχιστα.

Θ. *Ὡς ἀνωτέρα Χερουβὶμ*
ἑξαπτερύγων τε νόων
ὑπερτέρα, τὸν εἰς βάθος κακίας
ὀλισθήσαντά μου νοῦν
ἀναγαγεῖν σπλαγχνίσθητι·
τὸν γὰρ κατερραγμένους
ἐπανορθοῦντα γεγέννηκας.

Ὠδὴ τετάρτη. Σύ μου Χριστέ,

Τὸ τῆς ψυχῆς
οἴδημα νῦν πεπανθὲν καὶ ῥαγὲν
ἀηδίας

Heirm. δ' EE 219, n. 314, Joannis

52-54 II Ch. 26: 16-21 **56-61** Mat. 10: 33 **62-64** Cfr. Ps. 101: 10
74-75 Ps. 144: 14

www.tezaurliturgic.ro

πληροῖ τοὺς ἐγγίζοντας
F. 105v καὶ θεραπεύοντας συμπαθῶς· ἀλλὰ σύ, ὁ μόνος
ψυχονοσοῦντας ἰώμενος
φαρμάκοις προσηνέσιν,
ἀφανεῖ χειρουργίᾳ
τὸ δεινότατον τραῦμα θεράπευσον.

Ἡ μιαρὰ
μεγαλαυχία κρατήσασα
τῆς ψυχῆς μου
ἔνδον ἀπεγέννησε
τὴν νηπιώδη καὶ σκοτεινὴν ἄνανδρον δειλίαν,
ἀφ' ἧς ὡς φύλλον ῥιπίζομαι,
τῶν φύλλων τοὺς πατάγους
καὶ σκιὰς ὑποτρέμων
καὶ ἀνθρώπους οἰκτροὺς ἐκτρεπόμενος.

Νεανικῶς
τῆς διανοίας ὀσφύν, ὦ ψυχή,
ζωσαμένη,
νήφουσα τῷ πνεύματι
τελείως ἔλπισον ἐπὶ τὴν φερομένην χάριν
ἀποκαλύψει Χριστοῦ Ἰησοῦ·
καὶ γὰρ χωρὶς τῆς τούτου
βοηθείας οὐδόλως
ἀγαθόν τι ποιῆσαι δυνάμεθα.

Μὴ ἐννοῶν
τὸ φοβερὸν δικαστήριον,
ἐν ᾧ μέλλω
τρέμων παραστήσεσθαι
καὶ τῶν κρυφῇ μοι καὶ φανερῶς εἰργασμένων λόγον
ἀπαιτηθήσεσθαι δείλαιος,
μὴ φόβον τοῦ θανάτου
εἰς νοῦν ὅλως λαμβάνων,
ἀπονοίᾳ μετέωρος φέρομαι.

Θ. Ἐν γυναιξὶν
εὐλογημένη θεόνυμφε,

95-96 Cfr. IV Ki. 1: 8 **112-113** Lu. 1: 28 **105-106** Mat. 25: 32

εὐλογίαις
θείαις στεφανώσασα
τοὺς εὐλογίαις σε ἱεραῖς ἀνυμνολογοῦντας,
τὸν ἀλογίᾳ φερόμενον
εἰς πάθη λογισμόν μου
εὐλογήσασα, δεῖξον
ἀσφαλῆ καὶ τεχνίτην ἡνίοχον.

Ὠδὴ πέμπτη. Ἵνα τί με ἀπώσω

Γέλως ἄτακτος ἅμα
καὶ μετὰ μικρὸν σκυθρωπότης ἀλόγιστος
τῆς ὑπερηφάνου
διανοίας γνωρίσματα πέφυκε·
τὸν γὰρ θεῖον φόβον ἀφ' ἑαυτῆς ἀπωσαμένη,
εὐχερῶς πρὸς ἑκάτερα φέρεται.

Ἀνεκφράστους γεννᾷ μοι
καὶ πολυειδεῖς βλασφημίας δεινοὺς λογισμοὺς
ὑπερηφανία,
τὸ πρωτότοκον κάκιστον γέννημα
τοῦ ἀνθρωποκτόνου, οἷς ταραττόμενος ὁ τάλας
οὐδαμόθεν εὑρίσκω βοήθειαν.

Λογισμοῖς τῆς δειλίας
F. 106 μεθ' ἡμέραν βάλλομαι καὶ ἐν νυκτὶ φοβεροῖς
φαντασμάτων τύποις
καὶ θηρίων ἀγρίων ἐνδάλμασι
πτοούμενος, ἤδη παραφρονῆσαι κινδυνεύω·
Ἰησοῦ μου γλυκύτατε, πρόφθασον.

Ἁμαρτίας μεγάλης,
σῶτερ, τῆς οἰήσεως καθαρισθήσομαι,
ἐὰν μή μου ταύτης
αἱ αἰτίαι κατακυριεύσωσι

Heirm. ε' EE 219, n. 314, Joannis **134** μεθ' ἡμέραν Me in D: καθ' ἡμέραν R

136-137 Hb. 2: 17

www.tezaurliturgic.ro

καὶ εἰς εὐδοκίαν ἔσται τὰ λόγιά μου πάντα
καὶ ἐνώπιον σοῦ ἡ μελέτη μου.

Θ. Ὑδατόρρυτα νέφη
δεῖξον μου τὰ ὄμματα, θεογεννήτρια,
ἡ τὸν θεῖον ὄμβρον
ὡς νεφέλη σωτήριος τέξασα,
θαμιναῖς λιβάσι τὴν ἐψυγμένην μου καρδίαν
ἀναθῆλαι ποιοῦντα καρπῶν εἰς φοράν.

Ὠδὴ ἕκτη. *Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον*

Χαρίσμασι φυσικοῖς κοσμούμενος
καὶ σπουδάσμασιν οἰκείοις ὁ τλήμων,
εὐχαριστῶ
τῷ Θεῷ ἐν τοῖς λόγοις,
τῇ διανοίᾳ δεινῶς ἐπαιρόμενος
ὡς πρότερον ὁ ἀλαζὼν
Φαρισαῖος ἐκεῖνος εὐχόμενος.

Ὁ μάταιος ἀκαρπίαν νοσήσας
ὡς κυπάρισσος εἰς ὕψος ὁδεύω·
ὡς ὀβελὸν
καταπίνων αὐχένα
ἀνεπικλίτως ὀρθὸν διανίστημι·
κατάκαμψον, ὁ συμπαθής,
τὸν ὑψαύχενα τρόπον μου, δέομαι.

Νοός μου τοῖς ὀφθαλμοῖς οὐκ ἐμβλέπων
τῆς οἰήσεως δοκόν, τὰ τῶν ἄλλων
κάρφη μικρὰ
περισκέπτομαι, τάλας,
καὶ ἐξαιρεῖσθαι πειρῶμαι τυφλώττων αὐτός·

150 an εἰσφορὰν legendum?
Heirm. ς′ EE 219, n. 314, Joannis

143-144 Ps. 18: 14 **147** Cfr. De. 32: 2 **156-157** Lu. 18: 11-12
165-168 Mat. 7: 3-5.

ὦ πήρωσις μόνου σαφῶς
δεομένη Θεοῦ βοηθήσοντος.

Νυμφῶνα τὸν νοητὸν εἰσέρχεται
σὺν τοῖς ἄλλοις δαιτυμόσιν ἐκεῖνος
ὁ ῥυπαρὰ
περικείμενος ῥάκη,
ἀλλὰ δεθεὶς ἑκατέρων χειρῶν καὶ ποδῶν
ἀπέρριπται· μή μοι λοιπὸν
πρὸ ἐκείνης θαρρήσῃς τῆς κρίσεως.

Θ. Ὁ ἔμψυχος τοῦ δεσπότου θάλαμος,
ὁ λαμπραῖς τῆς παρθενίας ἀκτῖσι
φωτοειδῶς
ἀποστίλβων, ψυχήν μου
F. 106v τὴν ἀκαλλῆ γεγονυῖαν τοῖς πταίσμασι
καθάρασα, δεῖξον Θεοῦ
οἰκητήριον ἄμωμον, δέσποινα.

Κάθισμα. *Τὴν σοφίαν καὶ λόγον ἐν σῇ γαστρί*

Ὁ τὸ πᾶν ἐκ μὴ ὄντων παραγαγὼν
καὶ ἐμὲ κατ᾽ εἰκόνα κτίσας τὴν σήν,
ἄναρχε, ἀόρατε,
ἀνυπέρβλητε Κύριε,
τῆς παρὰ σοὶ μερίδος
δεινῶς ἐκπεσόντα με
καὶ τῷ πικρῷ τυράννῳ
σαφῶς ὑποκύψαντα
ζήτησον, οἰκτίρμον,
ἐπανάλαβε τάχος·
οὐκέτι γὰρ δύναμαι
τῆς δουλείας τὴν κάκωσιν·
ὥσπερ ἐκεῖνος ὁ ἄσωτος
ἀναστὰς πορεύσομαι πρός σέ, τὸν πατέρα μου,
καὶ βοήσω σοι· «ἥμαρτον, ποίησόν με ὡς μίσθιον.»

Heirm. cath. MR I 9

172-177 Mat. 22: 11-13 **198-199** Lu. 15: 17-19

www.tezaurliturgic.ro

Ὠδὴ ἑβδόμη. Θεοῦ συγκατάβασιν

Σαλεύει με κάτωθεν
σφοδρῶς ἐμπίπτουσα ἀτιμίας πνοή·
τῶν πταισμάτων γὰρ λήθην
ὑπὸ τοῦ τύφου λαβὼν ὁ δείλαιος,
ἐκθηριοῦμαι καὶ πρὸς τὴν ὑπόμνησιν·
ὁ σαρκωθεὶς δι' ἐμὲ σύ με ταπείνωσον.

Ὁδὸς ταπεινώσεως
σώματος κόποι καὶ ἐξουδένωσις,
ξενιτεία καὶ ἔργον
ὑπακοῆς, τὸ δὲ τέλος αὐτῆς
ἄφραστος πλοῦτος καὶ χάρις ἀνώνυμος,
ἔλλαμψις θεία, βυθὸς ἀρρήτου γνώσεως.

Νυμφίε ἀθάνατε
τῶν καθαρῶν ψυχῶν, Ἰησοῦ ὁ Θεός,
τῇ ταπεινοφροσύνῃ
ὡς βασιλίδι λαμπρᾷ με σύναψον,
ἔνδυμα γάμου λαμπρὸν ἐπενδύσας με
καὶ ἀπαθείας στολήν μοι χαρισάμενος.

Ὁ Κύριος, ὥς φησιν,
ὑπερηφάνοις προσαντιτάσσεται·
τίς λοιπὸν βοηθήσει;
τοῖς ταπεινοῖς δὲ τὴν χάριν δίδωσι·
τίς ἄρα τούτους κακώσει, πλουτήσαντας
τὸν κραταιὸν ἐν πολέμοις μόνον σύμμαχον;

Θ. Ἀργεῖ πᾶσα δύναμις
λόγου καὶ χάρις τῷ ὑπερβάλλοντι
τοῦ ἐν σοὶ μυστηρίου,
θεογεννήτρια, εἴσω πίπτουσα,
καὶ νοῦ ταχύτης ἡττᾶται διώκουσα
καὶ τὸ ληφθὲν ἀσμενίζει πόθῳ ζέοντι.

Heirm. ζ′ EE 219, n. 314, Joannis

217 Mat. 22: 12 **220, 222** Pr. 3: 34 **224** Si. 46: 1

F. 107

Ὠδὴ ὀγδόη. Ἐπταπλασίως κάμινον

Θεὸς αἷμα τὸ ἴδιον
ὑπὲρ δούλων ἐξέχεεν,
ὑπὲρ κατακρίτων ὁ κακίας ἄγευστος,
καὶ τί λοιπὸν ἄξιον
προσενεγκεῖν ἰσχύσομεν;
οὐδ' εἰ δυνατὸν ἦν ὑποστῆναι θανάτους
μυρίους καθ' ἡμέραν,
ἠδυνήθημεν ἄν τι
τοσαύτης συμπαθείας
ἄξιον καταθέσθαι.

Λόγον ἀπὸ καυχήσεως,
λογισμὸν ἐξ οἰήσεως
δίελε, ψυχή – ζῶν γὰρ ὁ λόγος Θεοῦ
καὶ πάσης τομώτερος
μαχαίρας διϊκνούμενος
ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, κρίνων
καρδίας ἐνθυμήσεις–
μὴ παραχωρηθεῖσα
τὰ ἐναντία πράξῃς,
ἐφ' οἷς ἀλαζονεύῃ.

Ἴδε τὸν Σολομῶντα μοι
πῶς τοσαύτης ἐξέπεσε
χάριτος καὶ Πέτρου τοῦ στερροῦ τὴν ἄρνησιν,
τοῦ Παύλου δὲ ἄκουσον,
μετὰ τοσαύτην δύναμιν
ἔτι δεδοικότος μήπως ἄλλοις κηρύξας
αὐτὸς Θεοῦ ἐκπέσῃ
καὶ ἡμῖν παραινοῦντος
ὡς «ὁ δοκῶν ἑστάναι
βλεπέτω μήπως πέσῃ».

Heirm. η′ EE 219, n. 314, Joannis

243-247 He. 4: 12 **253** Jno. 18: 25-27 **256-257** I Co. 9: 27
259-260 I Co. 10: 12

www.tezaurliturgic.ro

Ὅπερ ἂν ἐργασώμεθα
ἀγαθὸν δι' ἡμῶν αὐτῶν
τοῦ μὲν ἐναντίου ἀποχὴν κακοῦ ποιεῖ,
προσθήκην δὲ χάριτος
ἄνευ Θεοῦ οὐ δύναται
πρὸς ἁγιασμὸν ὅλως ἡμῖν ἐμποιῆσαι·
καὶ γάρ, φησιν, ἀνθρώπου
πᾶσα δικαιοσύνη
ἐνώπιον Κυρίου
ῥάκος ἐκκαθημένης.

Θ. Σημειουμένους, ἄχραντε,
τοῦ υἱοῦ σου τῷ αἵματι
βλάβης ἀνωτέρους καὶ κινδύνων σώζεις ἡμᾶς,
μεσίτις τῆς χάριτος
τῆς ἐξ αὐτοῦ φανεῖσα ἡμῖν·
ὅθεν με τὸν σὸν ἀπελευθέρωσον δοῦλον
τῆς ὑπερηφανίας
καὶ τῶν ταύτης ἐκγόνων
πτωμάτων, ὀργῆς, μίσους
καὶ ἰδιορρυθμίας.

Ὠδὴ ἑνάτη. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός

Μαστίγωσον τοὺς θλίβοντάς με ἐχθρούς
ἐν χειρὶ κραταιᾷ, παντοδύναμε Λόγε Θεοῦ,
καὶ ἐναποπνίξας ὡς ἐρυθρῷ
πελάγει τῷ σῷ αἵματι,
πρὸς γῆν ἀπαθείας με ἀβλαβῆ
μετάθες, ὅπως ὕμνον
φαιδρῶς ἀναβοήσω
τὸν ἐπινίκιον τῷ κράτει σου.

Heirm. θ′ EE 220, n. 314, Joannis

264-266 Cfr. He. 12: 14-15 **268-270** Is. 64: 6 **281-282** Jb. 30: 21
283-284 Ex. 14: 28 **286-288** Ex. 15: 1

F. 107v Ἀσμάτων ᾄσμα ᾄσομαι τῷ Θεῷ,
ὅτι μόνος ἐνδόξως δεδόξασται· ἵππον καὶ γὰρ
τῆς κενοδοξίας τὸν φρυακτὴν
καὶ ἀναβάτην ἔρριψεν
ὑπερηφανίας εἰς τὸν βυθόν·
ἡ δεξιά σου, σῶτερ,
δεδόξασται, ἰσχύι
ἡ δεξιά ἐχθρούς σου ἔθραυσεν.

Ῥημάτων γοερῶν καὶ ὀδυνηρῶν
ἐκ ψυχῆς κατωδύνου ἐπάκουσον ὁ συμπαθής,
ἴδε μου τὴν θλῖψιν καὶ συνοχήν,
ἣν κατὰ νοῦν ὑφίσταμαι·
πρὸς τὴν αἰγυπτίαν διαγωγὴν
στρεφόμενον ἐκτόπως
ἐλθὲ καὶ στῆσον, σῶτερ,
πολυπλανῆ φορὰν ἀλόγιστον.

Κατ' ἴχνος με πορεύεσθαι, Ἰησοῦ,
τῆς σεπτῆς πολιτείας εὐδόκησον, ἣν ἐπὶ γῆς
κενώσας ὑπέδειξας ἑαυτὸν
καὶ εὑρεθεὶς ὡς ἄνθρωπος,
σχήματι καὶ πράγματι ἀληθῶς
καὶ πράξει τελειώσας
τῶν θείων ἐντολῶν σου
πρὸς θεωρίαν ἀναβίβασον.

Ὁ πάντα ἐκ μὴ ὄντων παραγαγὼν
καὶ τὸν ἄνθρωπον κτίσας, ἀθάνατε,
δόξης τῆς σῆς
ὁμοίωμα φέροντα ἐπὶ γῆς,
αὐτὸς κἀμὲ τὸν ἄνθρωπον,
ἔργοις δὲ οὐκ ἄνθρωπον ἀληθῶς,
ἐλέῳ εὐσπλαγχνίας
τῆς πρώτης σου εἰκόνος
καὶ ὁμοιώσεως ἀξίωσον.

289-293 Ex. 15: 1 **294-296** Ex. 15: 6
307-309 Phil. 2: 7-8 **316, 320-321** Ge. 1: 27

www.tezaurliturgic.ro

Θ. *Σελήνη τοῦ ἡλίου τοῦ νοητοῦ,*
σελασφόρον ἀμάρυγμα πέμπουσα κόσμῳ παντί,
τὸν ἐσκοτωμένον μου λογισμὸν
διαφανῶς κατάλαμψον,
ἄχραντε παρθένε, μῆτερ Θεοῦ,
καὶ δός μοι πρὸς ἡμέραν
ἀπταίστως καταντῆσαι
τὴν τοῦ υἱοῦ σου τὴν ἀνέσπερον.

*

* *

XXIII. *Κανόνες παρακλητικοὶ εἰς τὴν Ὁδηγήτριαν*

XXIII[a]. *Κανὼν πρῶτος, οὗ ἡ ἀκροστιχίς·* *Ἀπάρχομαι σοι τῶν ἐμῶν λόγων, κόρη,* Μάρκος.

V F. 47 *Ὠδὴ πρώτη. Ἦχος α΄. Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες*

Ἀρχόμενοι σήμερον τοῦ τελευταίου
τῶν μηνῶν, ἀρχόμεθα
λογικοῖς ἄνθεσι προδιαπλέκειν φαιδρῶς
τῇ ἀπαρχῇ τῆς ζωῆς ὕμνον ἐξόδιον.

Παρθένε πανάμωμε, πιστούς σου δούλους,
οὓς πολλάκις ἔσωσας
ἐκ πολλῶν θλίψεων καὶ ἐθνικῶν προσβολῶν,
καὶ νῦν τιμῶντας τὴν σεπτὴν μνήμην σου φύλαττε.

Ἁσμάτων τῇ χάριτι τὰς πανιέρους
ἡμέρας φαιδρύνωμεν
ἱερῶς χαίροντες, ἐν αἷς ἡ μήτηρ Θεοῦ
τὴν ἐκδημίαν πρὸς αὐτὸν ποιεῖται χαίρουσα.

Ῥευστοὶ χρηματίσαντες δι᾽ ἁμαρτίαν
πρὸς ζωὴν τὴν ἄρρευστον
διὰ σοῦ, δέσποινα, ἀνακεκλήμεθα,
διὸ τὴν χάριν σοι πιστῶς ἐπιγραφόμεθα.

Tit. Τοῦ αὐτοῦ. Κανόνες παρακλητικοὶ κατ᾽ ἦχον εἰς τὴν Ὁδηγήτριαν ψαλλόμενοι καθ᾽ ἑσπέραν ἐν ταῖς πέντε καὶ δέκα τοῦ αὐγούστου μηνὸς ἡμέραις πρὸ τῆς ἐνδόξου καὶ σεβασμίας αὐτῆς κοιμήσεως V. In D folium cecidit, qua re in ipso codice odes α΄ et γ΄ atque primum et secundum troparium odis δ΄ usque ad v. 41 desunt. Textum restitui auxilio cod. V, qui eum integrum servat, atque editionum Oi et Ef

Heirm. α΄ EE 11, n. 15, Andreae **5-8** troparium metro et verbis discrepans in Oi et Ef: Παρθένε πανάμωμε / Θεογεννῆτορ, τὴν ποίμνην σου φύλαττε, (hoc verbum ad finem troparii invenitur in Oi) / ἣν πολλάκις ἔσωσας / ἐκ πολλῶν θλίψεων / καὶ ἐθνικῶν προσβολῶν, καὶ νῦν τιμῶσαν τὴν (σεπτήν) μνήμην σου **10** φαιδρύνωμεν Oi, Ef: φαιδρύνομεν V **11** τοῦ post μήτηρ add. Ef

www.tezaurliturgic.ro

Θ. *Σελήνη τοῦ ἡλίου τοῦ νοητοῦ,*
σελασφόρον ἀμάρυγμα πέμπουσα κόσμῳ παντί,
τὸν ἐσκοτωμένον μου λογισμὸν
διαφανῶς κατάλαμψον,
ἄχραντε παρθένε, μῆτερ Θεοῦ,
καὶ δός μοι πρὸς ἡμέραν
ἀπταίστως καταντῆσαι
τὴν τοῦ υἱοῦ σου τὴν ἀνέσπερον.

*

* *

XXIII. *Κανόνες παρακλητικοὶ εἰς τὴν Ὁδηγήτριαν*

XXIII[a]. *Κανὼν πρῶτος, οὗ ἡ ἀκροστιχίς·*
Ἀπάρχομαι σοι τῶν ἐμῶν λόγων, κόρη, Μάρκος.

V F. 47 *Ὠδὴ πρώτη. Ἦχος α'. Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες*

Ἀρχόμενοι σήμερον τοῦ τελευταίου
τῶν μηνῶν, ἀρχόμεθα
λογικοῖς ἄνθεσι προδιαπλέκειν φαιδρῶς
τῇ ἀπαρχῇ τῆς ζωῆς ὕμνον ἐξόδιον.

Παρθένε πανάμωμε, πιστούς σου δούλους,
οὓς πολλάκις ἔσωσας
ἐκ πολλῶν θλίψεων καὶ ἐθνικῶν προσβολῶν,
καὶ νῦν τιμῶντας τὴν σεπτὴν μνήμην σου φύλαττε.

Ἁσμάτων τῇ χάριτι τὰς πανιέρους
ἡμέρας φαιδρύνωμεν
ἱερῶς χαίροντες, ἐν αἷς ἡ μήτηρ Θεοῦ
τὴν ἐκδημίαν πρὸς αὐτὸν ποιεῖται χαίρουσα.

Ῥευστοὶ χρηματίσαντες δι' ἁμαρτίαν
πρὸς ζωὴν τὴν ἄρρευστον
διά σοῦ, δέσποινα, ἀνακεκλήμεθα,
διὸ τὴν χάριν σοι πιστῶς ἐπιγραφόμεθα.

Tit. Τοῦ αὐτοῦ. Κανόνες παρακλητικοὶ κατ' ἦχον εἰς τὴν Ὁδηγήτριαν ψαλλόμενοι καθ' ἑσπέραν ἐν ταῖς πέντε καὶ δέκα τοῦ αὐγούστου μηνὸς ἡμέραις πρὸ τῆς ἐνδόξου καὶ σεβασμίας αὐτῆς κοιμήσεως V. In D folium cecidit, qua re in ipso codice odes α' et γ' atque primum et secundum troparium odis δ' usque ad v. 41 desunt. Textum restitui auxilio cod. V, qui eum integrum servat, atque editionum Oi et Ef

Heirm. α' EE 11, n. 15, Andreae **5-8** troparium metro et verbis discrepans in Oi et Ef: Παρθένε πανάμωμε / Θεογεννῆτορ, τὴν ποίμνην σου φύλαττε, (hoc verbum ad finem troparii invenitur in Oi) / ἣν πολλάκις ἔσωσας / ἐκ πολλῶν θλίψεων / καὶ ἐθνικῶν προσβολῶν, καὶ νῦν τιμῶσαν τὴν (σεπτήν) μνήμην σου **10** φαιδρύνωμεν Oi, Ef: φαιδρύνομεν V **11** τοῦ post μήτηρ add. Ef

www.tezaurliturgic.ro

Ὠδὴ τρίτη. Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες

Χαῖρε, τῆς χαρᾶς ἡ πρόξενος τῷ βροτείῳ γένει,
χαῖρε, ἡ τῆς λύπης ἀπαλλαγὴ καὶ λύσις,
χαρᾶς ἀδιαδόχου χωρίον εὐρύχωρον,
ἡ δι' ἀγγέλου τῆς χαρᾶς καὶ νῦν λαβοῦσα τὰ μηνύματα.

Ὅπλῳ εὐδοκίας, δέσποινα, τοὺς πιστούς σου δούλους,
ἅπαντας συνήθως προσπίπτοντας τεμένει
F. 47v τῷ σῷ, φθορᾶς ἀπάλλαξον καὶ τρέψον τὴν ὀργήν σου
ἐπὶ ἀπίστους, αὐτῶν καταβαλοῦσα τὰ φρυάγματα.

Μέση Θεοῦ χρηματίσασα καὶ ἀνθρώπων, κόρη,
μέσον τὸν παρόντα διαλαβοῦσα μῆνα,
τῇ θείᾳ μεταστάσει φαιδρύνεις τὸν σύμπαντα
καὶ εἰς πανήγυριν φαιδρὰν ἐπισυνάγεις τοὺς θεόφρονας.

Ἅδων ὁ προφήτης πνεύματι τὰ σὰ μεγαλεῖα·
«πᾶσα, ἀνεβόα, ἔσωθεν ἡ δόξα
τοῦ μόνου βασιλέως τῆς θυγατρὸς ὑπάρχει·
διὸ οἱ πλούσιοι λαοῦ τὸ πρόσωπον σου λιτανεύουσιν».

Ὠδὴ τετάρτη. Ἐν πνεύματι προβλέπων, προφῆτα Ἀββακούμ,

Ἰδού, τῇ βασιλίδι λαμπρῶς ἐπιφανείς
ὁ συνήθης ἄγγελος, τὸ σύμβολον αὐτῇ
τῆς τοῦ θανάτου νίκης φέρων ἐγχειρίζει,
φοίνικος κλάδον, ὥσπερ πρώην τῷ δεσπότῃ
φέροντες ὑπήντων οἱ ὄχλοι πιστῶς.

Συνέλθωμεν προθύμως ἐν φόβῳ καὶ χαρᾷ
βασιλεῖς καὶ ἄρχοντες, λαὸς καὶ ἱερεῖς,
νέοι, πρεσβῦται, μοναστάι τε καὶ μιγάδες,

Heirm. γ′ EE 11, n. 15, Andreae
Heirm. δ′ EE 11, n. 15, Andreae **22** ante ἅπαντας add. οὕσπερ V **24** post ἐπὶ add. τοὺς Oi **27** τὸν V, Ef: τὰ Oi **32** post πλούσιοι add. τοῦ Ef λιτανεύουσιν V, Ef: λιτανεύσουσιν Oi **40** τε om. Ef

21 Ps. 5: 12 **30** Ps. 44: 14 **32** Ps. 44: 13 **36-37** Jno. 12: 13

F. 47v- F. 194 πᾶσα ἀξία, τὴν μητέρα τοῦ Κυρίου
μέλλουσαν ἀπαίρειν ἐκ γῆς προσιδεῖν.

Ὁ μέγας ἐν προφήταις, πανύμνητε, Μωσῆς
τυπικῶς τεθέαται ἐν βάτῳ καὶ πυρὶ
τοῦ μυστηρίου τὸ θαῦμα τῆς σῆς λοχείας·
καὶ γὰρ ἀφλέκτως πῦρ τὸ ἄϋλον ἐδέξω·
δόξα τῷ Θεῷ τῷ φανέντι ἐκ σοῦ.

Ἰάματα ἐκ θείας παλάμης σου, ἁγνή,
τοῖς νοσοῦσι δώρησαι·
καὶ γὰρ φθοροποιοῦ
εἰς τὸν ἀέρα ἀτμίδος ἀναχεθείσης
καὶ διὰ τούτου τοῖς ἡμῶν προσομιλούσης
σώμασιν ἡ λύμη κατίσχυσεν.

Ὠδὴ πέμπτη. Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον

Τὴν πολυώνυμον καὶ περίκλυτον
στάμνον καὶ τράπεζαν,
ὄρος ἅγιον, βάτον καὶ κλίμακα
προοραθεῖσαν
πάντες ἀνυμνήσωμεν ἐκ γῆς μεταβαίνουσαν.

Ὡς ὑπερέχουσα πάσης κτίσεως
ἐν ἁγιότητι,
δόξαν ἄρρητον, ἁγνή, πεπλούτηκας,
ὅθεν τὸν μῆνα
τοῦτον ἀνατίθεμεν εἰς δόξαν σοι, δέσποινα.

Heirm. ε′ EE 13, n. 16, Andreae **41** post μητέρα om. τοῦ V, Oi, Ef **42** προσιδεῖν D: προσειπεῖν V, Oi, Ef **41-42** vv. delevit manus posterior in D **52** ex ἀνα [...] θείσης (litterae duae non leguntur) corr. ἀναχεθείσης Je in D **51-54** vv. omnino diversi in Ef: δεινῶς κατὰ ψυχὴν·/ βιωτικαῖς γὰρ μερίμναις προσηλωθέντες, τὰ τῆς ψυχῆς νῦν παρέργως, φεῦ, ἐκτελοῦμεν· / ἀναισθησίᾳ νοσοῦντες ἴασαι. **64** δόξαν σοι D: σὴν δόξαν Ef

43-44 Ex. 3: 2-4 **56-57** στάμνος Ex. 16: 33 τράπεζα Ex. 38: 9-12
58 ὄρος Ps. 98: 9 βάτος Ex. 3: 2 κλῖμαξ Ge. 28: 12

www.tezaurliturgic.ro

Νεοποιεῖς φθαρεῖσαν, ἄχραντε,
φύσιν τὴν βρότειον,
διὸ πόλιν τὴν τῷ σῷ ὀνόματι
ἀνακειμένην
λύτρωσαι πρεσβείαις σου φθορᾶς καὶ κακώσεως.

Ἐπὶ τοῦ ὄρους προσευχομένης σου,
πάναγνε δέσποινα,
F. 194v προσκλινόμενα τὰ δένδρα νέμουσι
δουλοπρεπῆ σοι
εὐλαβῶς προσκύνησιν· ὦ θαῦμα παράδοξον.

Ὠδὴ ἕκτη. *Τὸν προφήτην Ἰωνᾶν*

Μόνη ἔτεκες Θεόν,
μόνη ἔμεινας ἁγνή,
μόνον θέλησον αὐτὴ καὶ λυθήτω τὰ δεινὰ
καὶ ὄψονται
οἱ σοὶ οἰκέται τὴν σὴν βοήθειαν.

Ὡς νεφέλη μυστική,
μητροπάρθενε ἁγνή,
καθοδήγησον ἡμᾶς πρὸς οὐράνιον ζωήν,
τὸν καύσωνα
τῆς ἁμαρτίας ἐξαφανίζουσα.

Νέον βρέφος ἐπὶ γῆς
ὁ παντέλειος Θεὸς
προελήλυθεν ἐκ σοῦ, δύο φύσεις ἐν ταὐτῷ
θελήματα
καὶ ἐνεργείας φέρων, πανάμωμε.

Heirm. ς′ EE 12, n. 15, Andreae **67** πόλιν D: πολίμνην Je, Ef, Oi, δούλους τοὺς V **68** ἀνακειμένην D, Oi: σεμνυνομένους V, σεμνυνομένην Ef

70 ex εὐχομένης corr. προσευχομένης Me in D, verbum jam correctum in V, Oi et Ef

80 Ex. 13: 21

Λύεις πταίσματα ψυχῶν,
παύεις νόσους τῆς σαρκός,
ἀπελαύνεις πᾶν κακὸν τῶν τιμώντων σε, ἁγνή,
τὸ δύνασθαι
μόνῳ τῷ θέλειν σύνδρομον ἔχουσα.

Ὠδὴ ἑβδόμη. *Τῶν ἐν καμίνῳ παίδων σου, σωτήρ*

Ὁ τοὺς ἁγίους παῖδας ἐκ πυρὸς
ῥυσάμενος καὶ ἐκ τῶν λεόντων Δανιὴλ
καὶ τοῖς σοῖς δούλοις τὸν φλογμὸν
τῶν νοσημάτων
ἀναψύξας, εὔσπλαγχνε,
ῥῦσαι θανάτου βορᾶς ταῖς τῆς μητρός σου εὐχαῖς.

Γῆ ἡ τὸν στάχυν τὸν ζωοποιὸν
βλαστήσασα, πρὸς τὴν ἐπουράνιον ζωὴν
F. 195 διὰ θανάτου ἐκ τῆς γῆς
μεθισταμένη,
τοῖς ἐν γῇ κατέλιπε·
τὴν εὐλογίαν ἡμῖν ἐν τοῖς ἀμφίοις αὐτῆς.

Ὤφθη τῷ θείῳ πάλαι Ἰσραὴλ
οὐράνιος κλίμαξ ἡδρασμένη ἐν τῇ γῇ,
ἐφ' ἣν οἱ ἄγγελοι Θεοῦ
καὶ ὁ δεσπότης
ἐπ' αὐτῆς ἐστήρικτο,
τῆς Θεοτόκου τυποῦσα τὴν μετάστασιν.

---

92 κακόν D: δεινόν V, Oi, Ef

Heirm. ζ′ EE 12, n. 15, Andreae Heirm. dissimile tradit V: *Τοὺς ἐν καμίνῳ παῖδας ὁ σωτήρ* **93** μόνῳ τῷ D, V: μόνη τῷ Oi, μόνον τὸ Ef **97-100** καὶ τοῖς σοῖς δούλοις/ ἐκ παθῶν καὶ πταισμάτων/ ἀναρρύσας, εὔσπλαγχνε, / δίδου εὐαρέστως ζῆν / ταῖς τῆς μητρός σου εὐχαῖς Ej **100** βορᾶς D, V: φθορᾶς Oi

102 πρὸς D: καὶ V, Oi, Ef **108** ἡ ante οὐράνιος add. V, Ef, ἡδρασμένη ἐν τῇ γῇ om. V, Ef, ἡ οὐράνιος ἐκείνη κλίμαξ Oi **109** ἀνέβαινον post Θεοῦ add. Oi

107-111 Ge. 28: 12-13

www.tezaurliturgic.ro

Ναὸς Θεοῦ ὑπάρχουσα, σεμνή,
τοὺς πίστει σου νῦν ἐν τῷ τεμένει ἱερῶς
συναγομένους καὶ τὴν σὴν
προσδεχομένους
ἀρωγὴν περίσωζε
ἐκ πειρασμῶν ψυχικῶν καὶ νοσημάτων δεινῶν.

Ὠδὴ ὀγδόη. Ὃν φρίττουσιν ἄγγελοι καὶ πᾶσαι στρατιαί

Καλεῖ πρὸς οὐράνιον καὶ ἔνθεον ζωὴν
ὁ κτίστης καὶ Κύριος μητέρα τὴν αὐτοῦ
καὶ τῷ μυστηρίῳ τέλος πρέπον διδούς,
κάτεισιν ἐν δόξῃ
ταύτην ἀνακομίσων.

Ὁ τόμος προέγραφε τὸ θαῦμα σου, σεμνή,
ὁ πόκος ἐμήνυε τὸν ξένον ὑετόν
ἐν σοὶ καταβάντα καὶ τὴν φύσιν ἡμῶν
καυσουμένην δρόσῳ
ζωῆς ἀναλαβόντα.

Ῥεούσης ἀφέμενοι ζωῆς καὶ χαμερποῦς,
μενούσῃ προσέλθωμεν καὶ κρείττονι ζωῇ
καὶ συνεπαρθῶμεν τῇ δεσποίνῃ ἡμῶν,
γῆθεν ἀνιούσῃ
ζωὴν πρὸς τὴν ἀγήρω.

F. 195v Ἡ πύλη ἡ βλέπουσα κατὰ ἀνατολάς,
ἡ κλίμαξ ἡ ἔνθεος, ἡ ῥάβδος Ἀαρών,
ἡ ζῶσα νεφέλη ἐν νεφέλαις καλεῖ
γῆθεν αἰρομένη
τοὺς θείους ἀποστόλους.

Heirm. η′ EE 12, n. 15, Andreae

124 Is. 8: 1 **125** Jd. 6: 37-40 **134** Ez. 44: 1-3 **135** Nu. 17: 21-23 **136** Ex. 13: 21

Ὠδὴ ἐνάτη. Τὴν ζωοδόχον πηγὴν τὴν ἀέννaον

Μαρμαρυγαῖς τῆς ἀΰλου θεότητος
περιαστράπτων ἐν δόξῃ κατέρχεται,
τοῦτο ἤδη δεύτερον,
ὁ υἱός σου, δέσποινα,
σὺν μυριάσι πολλαῖς ἀΰλων νόων
τὴν σὴν ἁγίαν ψυχὴν προσληψόμενος.

Ἁμαρτημάτων δεσμοῖς συνεχόμενοι
τῇ τοῦ θανάτου τομῇ παρεδόθημεν
καὶ καταφθειρόμεθα
ἐκ δικαίας κρίσεως
τοῦ σοῦ υἱοῦ καὶ Θεοῦ ἀλλὰ θαρροῦντες
τῇ σῇ, πανάμωμε, σκέπῃ σωθείημεν.

Ῥητορευόντων ἀπύλωτα στόματα
καὶ φιλοσόφων ἀσόφων σοφίσματα
μάταια ἐλήλεγκται,
φροῦδα κεχρημάτικε,
τῷ μυστηρίῳ τῷ σῷ καταργηθέντα,
θεογεννῆτορ πανάμωμε δέσποινα.

Κεκρατημένοι τῷ θείῳ σου ἔρωτι
οἱ προσκυνοῦντες τὸ μέγα μυστήριον
τοῦ ἀσπόρου τόκου σου,
δέσποινα πανύμνητε,
F. 49v λόγοις εὐρύθμων ᾠδῶν, ᾀσμάτων ὕμνοις
τὰ ἐξιτήριά σοι προσφθεγγόμεθα.

Ὃς ἐν ἐρήμῳ λαὸν μυριάριθμον
στύλῳ πυρὸς καὶ νεφέλης ὡδήγησεν,
οὗτος πρὸς τὸ τέμενος
τοῦτο σου τὸ ἅγιον,

Heirm. θ′ EE 14, n. 18, Andreae **146** τῇ τοῦ θανάτου τομῇ D, V, Ef: τῇ τοῦ ᾅδου ποινῇ Oi **161** post λόγοις orat. abrumpitur in D, folium enim cecidit, qua re finis canonis primi, odes α′ duo tropariaque odis γ′ canonis secundi desunt. Textum restitui auxilio cod. V et editionum Oi et Ef

www.tezaurliturgic.ro

μῆτερ ἁγνή, ὁδηγεῖ δυνάμει θείᾳ
τοὺς δεομένους τῆς σῆς ἀντιλήψεως.

Σιὼν ἁγία, Θεοῦ πόλις ἔμψυχε,
τοὺς σοὺς πολίτας καὶ δούλους σου φύλαττε,
τοὺς τῷ σῷ ὀνόματι
ὠχυρωμένους ἄνωθεν,
ἐκ ποικίλων δεινῶν ἀνασωθέντας
καὶ νῦν μάλιστα σοὶ προσανέχοντας.

*

170 τὴν ποίμνην σου πάντοτε διαφύλαττε Oi, Θεοκυῆτορ, τὴν ποίμνην σου φύλαττε Ef **171-174** τὴν τῷ σῷ ὀνόματι/ δομηθεῖσαν ἄνωθεν καὶ ἐκ ποικίλων δεινῶν ἀνασωθεῖσαν/ καὶ νῦν ὡς μάλιστα σοὶ προσανέχουσαν Oi, Ef

169 Ps. 47: 2

XXIII[b]. Κανὼν δεύτερος, οὗ ἡ ἀκροστιχίς·
Τὴν ἐν μάχαις ἄγρυπνον ὑμνῶ προστάτιν, Μάρκος.

F. 49[v] **Ὠδὴ πρώτη. Ἦχος β'. Ἐν βυθῷ κατέστρωσε ποτέ**

Τῇ τῆς σῆς χρηστότητος ροπῇ
πεποιθώς, πανύμνητε,
καὶ τῇ ἀγρύπνῳ θαρρῶν προστασίᾳ σου,
δευτέρας ἀπάρχομαι μελωδίας τῇ ζωηφόρῳ κοιμήσει σου,
ἣν προσδεδεγμένη ἵλεως γενοῦ μοι τῷ οἰκέτῃ σου.

Ἡ Θεὸν τεκοῦσα τὸν ἡμῶν,
τὰς νόσους βαστάσαντα
καὶ ἁμαρτίας εὐσπλάγχνως ἀράμενον,
κατὰ νόμους φύσεως νοσηλεύεται πρὸς ζωὴν τὴν ἀκήρατον
ἔνθεν ἀπιοῦσα, ἣν εὐσεβοφρόνως μακαρίσωμεν.

Νικητὰς ἀνάδειξον ἐχθρῶν
ἀσεβούντων, δέσποινα,
τοὺς εὐσεβεῖς καὶ πιστοὺς ἡμᾶς δούλους σου,
F. 50 τὴν ἀκαταμάχητον πανοπλίαν ἠμφιεσμένους τῆς πίστεως
καὶ τὴν σὴν ἐλπίδα προσανατεινομένους ἐν ἅπασιν.

Ἐν νεφέλαις ὥσπερ ἀετοὶ
νῦν διακομίζονται,
ὅπου τὸ πτῶμα οἱ θεῖοι ἀπόστολοι
τὸ τῆς ἀναστάσεως τοῖς ἀνθρώποις καὶ ἀφθαρσίας παραίτιον,
τὴν φρικτὴν ἐσχάτην ἁρπαγὴν τυποῦντες διαέριον.

Νοερᾷ ψυχῇ καὶ λογικῇ
τιμηθέντες ἄνθρωποι
καὶ κατ' εἰκόνα τοῦ κτίστου γενόμενοι,
παρασυνεβλήθημεν τοῖς ἀλόγοις καὶ τῇ φθορᾷ ἠτιμάσθημεν,
ὅθεν καὶ ἀτίμως ὡς πρόβατα ἄρδην θανατούμεθα.

Heirm. α' EE 34, n. 46, Joannis **14** ἠμφιεσμένους Oi, Ef: ἠμφιεσμένην V **15** προσανατεινομένους Oi, Ef: προσανατεινόμενον V

7 Mat. 8: 17 **8** Jno. 1: 29, I Jno. 3: 5 **14** Eph. 6: 11-13
16-18 Mat. 24: 28 **20** Cfr. I Th. 4: 17 **24** II Pe. 2 : 12

www.tezaurliturgic.ro

Ὠδὴ τρίτη. Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας

Μακάριοι οἱ μένοντες ἐν τῷ οἴκῳ
τῷ σῷ, εἰς τοὺς αἰῶνας αἰνέσουσί σε·
μακάριοι οἱ βλέποντες ἐν εἰκόνι
τὴν ἀπαστράπτουσαν αὐγλην τῆς χάριτος,
ἧς αὐτὴ μετέδωκας ζῶσα, πάναγνε.

Ἀλλόφυλος ἐχθρῶν μαχητῶν ῥομφαία
κυκλόθεν παροικεῖ τὴν σὴν πόλιν, κόρη,
F. 197 διψῶσα ἀνθρωπείων αἱμάτων χύσιν,
ἣν ταῖς καρδίαις ταῖς αὐτῶν ἀντίστρεψον
καὶ τὰ τόξα σύντριψον καὶ διάλυσον.

Χαρᾶς καὶ εὐφροσύνης, οὐ κατηφείας
ἡ ἔνδοξος μετάστασις τῆς πανάγνου·
μεσίτις γὰρ τῆς φύσεως ἀνελθοῦσα
πρὸς τὸν δεσπότην καὶ υἱὸν παρίσταται,
πᾶσι τὸν οἰκτίρμονα διαλλάττουσα.

Ἀνάστειλον τὴν θραῦσιν ὀργῆς Κυρίου,
θανάτου τοῦ ἀώρου καὶ αἰφνιδίου
τοὺς δούλους σου διάσωσον, θεοτόκε·
ἴδε συντρέχοντας, θερμῶς προσπίπτοντας
ἐπὶ σοὶ καὶ μόνῃ πιστῶς σαλεύοντας.

Ὠδὴ τετάρτη. Ἐλήλυθας

«Ἰδέτωσαν
οἱ μισοῦντες με καὶ αἰσχυνθήτωσαν»,
ἡ πόλις σου, δέσποινα, βοᾷ θαρροῦσα τῇ σκέπῃ σου,
«καὶ ἀποστραφήτωσαν
εἰς τὰ ὀπίσω ὡς χνοῦς ὑπὸ ἀνέμου σφοδροῦ».

Heirm. γ′ EE 38, n. 51, Cosmae
Heirm. δ′ EE 34, n. 46, Joannis **30** αὐτὴ V, Ef: αὐτῇ Oi **32** τὴν σὴν πόλιν D: τοὺς σοὺς δούλους V, Oi, Ef **33** ἀνθρωπείων V: τοῖς σοῖς δούλοις Oi, ἀνθρωπίνῳ Ef **48** πόλις: ποίμνη Je, idem verbum in Oi, Ef

26-27 Ps. 83: 4 **35** Ps. 36: 15 **41** Cfr. Ps. 105: 30 **46** Ps. 85: 17 **49-50** Ps. 34: 5

Συνέρχονται
γυναικῶν φιλοθέων συστήματα,
τὸν κόσμον τῆς φύσεως, τὴν ὑπερτέραν τῆς κτίσεως
πίστει προσκυνήσουσαι,
μεθισταμένην πρὸς ἄϋλον καὶ θείαν ζωήν.

Ἀνάκλησις
τοῦ πεσόντος Ἀδὰμ χρηματίσασα,
δένδρα προσκλινόμενα καθὼς ἐκεῖνος τὰ ἄλογα
ἔσχηκας, προσκύνησιν
δουλοπρεπῆ παραδόξως σοὶ προσνέμοντα.

F. 197v Γηράσαντα
καὶ πολλοῖς συμπεσόντα παθήμασι
κόσμον νεουργήσασα, πρὸς τὴν ἀγήρω καὶ ἄπτωτον
ζωὴν μεταβέβηκας,
τὴν ἡλικίαν πρὸς γῆρας ἤδη κλίνασα.

Ῥημάτων σου
τῶν σεπτῶν μεμνημένοι, πανάμωμε,
ἰδοὺ μακαρίζομεν καὶ εὐφημοῦμεν ἀπαύστως σε,
ὅτι μεγαλεῖα σοι
ὁ δυνατὸς ὡς προέφησας πεποίηκεν.

Ὠδὴ πέμπτη. Ὁ φωτισμός

Ὑπὸ πολλῆς
καὶ ἀπείρου χρηστότητος εἰς τὸ σῶσαι
κόσμον ὁ δεσπότης καταφοιτήσας,
τὴν παναγίαν καὶ σεπτήν σου γαστέρα
κατεσκήνωσεν ὡς εὐρύχωρον
ἄλλον οὐρανὸν ἐπὶ γῆς ἀξιόθεον.

Heirm. ε′ EE 34, n. 46, Joannis **58** τὰ ἄλογα D, V, Oi: τὰ κτίσματα Ef **60** ἀπονέμοντα corr. σοι προσνέμοντα Me in D, verbum jam correctum in V, Ef, Oi **62** συμπεσόντα D, V, Oi: ἐμπεσόντα Ef **65** τὴν ἡλικίαν D, V, Oi: τῇ ἡλικίᾳ Ef **68** σε D, Oi, Ef: σοι V

66-70 Lu. 1: 49

www.tezaurliturgic.ro

Περιπεσὼν
ἀνοδίαις προσκόπτω ψυχῆς τοὺς πόδας
καὶ τῷ Ἅδῃ ἤγγισεν ἡ ζωή μου,
προσελογίσθην μετὰ τῶν τεθνεώτων,
ἐγενήθην ὡς ἀβοήθητος·
δέσποινα, αὐτή μοι βοήθησον δέομαι.

Νύμφη πατρὸς
τοῦ ἀνάρχου, ἁγία μῆτερ τοῦ λόγου,
πνεύματος ἁγίου θεῖον ταμεῖον,
τοὺς λειτουργοῦντας τῷ σεπτῷ σου τεμένει
καὶ αἰτοῦντας τὴν σὴν ἀντίληψιν
χάριτος Θεοῦ κληρονόμους ἀνάδειξον.

Ὁ ὑψηλὸς
καὶ περίβλεπτος θρόνος τοῦ βασιλέως,
τῶν βασιλευόντων ἡ ζῶσα κλίνη
ἡ θεοδόχος, ὁ πανάγιος οἶκος,
τὸ ἀβέβηλον ἱλαστήριον
νῦν πρὸς οὐρανίους σκηνὰς μετατίθεται.

F. 198 **Ὠδὴ ἕκτη. Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος**

Νεφοδρόμοι, πτηνοὶ διαέριοι
πάντοθεν ἀπάραντες θείῳ βουλήματι,
πρὸς τὴν κηδείαν ἤκουσι
τῆς μητρὸς τοῦ Θεοῦ οἱ ἀπόστολοι.

Ὑπερτέρα τῶν ἄνω δυνάμεων
καὶ τοῦ νοητοῦ διακόσμου χωρήσασα,
μῆτερ Θεοῦ πανάμωμε,
παρ' αὐτῇ τῇ τριάδι γεγένησαι.

Heirm. ς′ EE 34, n. 46, Joannis **81** ἐγενήθην D, V: ἐγεννήθην Oi, Ef **84** post μῆτερ om. τοῦ Oi **91** κλίνη D, V, Ef: γαλήνη Oi **95** διαέριοι D, V, Oi: ἐναέριοι Ef

79-82 Ps. 87: 3-4 **91** Ca. 3: 7

Μακαρία γαστήρ ἡ βαστάσασα
καὶ μαστοὶ θηλάσαντες τὸν ἐπὶ πάντων Θεὸν
τῆς φυλαξάσης πρότερον
τὸν αὐτοῦ θεῖον λόγον ἀλώβητον.

Νεῶν, ὅπλων, τειχῶν καὶ δυνάμεως,
δέσποινα, ἡ πόλις σου πονήρως ἔχουσα,
τὴν σὴν καὶ μόνην ἄμαχον
κατ' ἐχθρῶν δυναστείαν προβάλλεται.

Ὡς δεσπόζουσα πάσης τῆς κτίσεως
δώρησαι ἡμῖν εὐκραῆ τὴν κατάστασιν
τὴν τοῦ ἀέρος, ἄχραντε,
τὴν ὀλέθριον λύμην ἐξαίρουσα.

Ὠδὴ ἑβδόμη. *Εἰκόνος χρυσῆς*

«Παρέστη», φησίν,
«ἡ βασίλισσα», Δαβίδ, «ἐκ δεξιῶν σου
ἐν διαχρύσῳ στολῇ λάμπουσα,
πεποικιλμένη τῇ χάριτι»,
πόρρωθεν προγράφων τὴν δόξαν
τῆς σεπτῆς μεταστάσεως
τῆς παναμώμου σου μητρός, υἱὲ καὶ λόγε Θεοῦ.

Ῥυσθέντες, ἀγνή,
τῆς ἀρχαίας καταδίκης τῷ σῷ τόκῳ
καὶ παραδείσου τὴν ἀπόλαυσιν
ἀναλαβόντες λαμπρότερον,
F. 198v σέ, τῶν ἀγαθῶν τὴν αἰτίαν,

Heirm. ζ′ EE 39, n. 53, Cosmae **103** βαστάσασα D: βλαστήσασα V, Oi: χωρήσασα Ef **107** Νέον ὅπλον τειχῶν καὶ δυνάμεων ET **108** ἡ ... ἔχουσα D: οἱ δοῦλοι σου πονήρως ἔχοντες V, Oi, Ef **110** προβάλλεται D: προβαλλόμεθα V, προβάλλονται Oi, Ef **114** ἐξαίρουσα D,V, Oi: ἐξαίρουσαν Ef **121** σου om. Ef υἱὲ καὶ λόγε Θεοῦ D, V: υἱὲ καὶ λόγε πατρὸς Oi, υἱοῦ καὶ λόγου Θεοῦ Ef

103-104 Lu. 11: 27 **115-116** Ps. 44: 9

www.tezaurliturgic.ro

εὐσεβῶς μεγαλύνομεν,
εὐχαριστήριον ᾠδὴν ἀνακρουόμενοι.

Ὁ παῖδας τοὺς τρεῖς
ἐν καμίνῳ ἀσινεῖς διατηρήσας,
πυρὶ τῷ θείῳ οὐ κατέφλεξε
τὴν θεοδόχον γαστέρα σου
βάτος γὰρ αὐτὴν προετύπου,
ἀκατάφλεκτος μένουσα,
προσομιλοῦσα τῷ πυρὶ ἐπὶ τοῦ ὄρους Σινᾶ.

Στρατὸς δυσμενὴς
μυριάριθμος, αἱμάτων ἄνδρες ὅλοι,
προσκαθεζόμενοι τῇ πόλει,
χρόνον πολὺν ὠρυόμενοι,
πάσῃ μηχανῇ κεχρημένοι,
κατησχύνθησαν ἄπρακτοι,
ἀποκρουσθέντες [σου τῇ] παντοδυνάμῳ χειρί.

Ὠδὴ ὀγδόη. Τὸν ἐν καμίνῳ τοῦ πυρός

Τὴν παναγίαν κιβωτόν,
τὴν ὑπέρτιμον σκηνήν, τὴν θείαν στάμνον,
τὴν λυχνίαν, τὴν πλάκα,
τὸν φωτοφόρον ναόν,

Heirm. η′ EE 35, n. 47, Joannis **130** διατηρήσας D, V, Ef: διαφυλάξας Oi **134** μένουσα D, V, Oi: μείνασα Ef **137** ὅλοι D, Oi, Ef: τότε V **138** πόλει D: πόλεσι Je in D, post πόλει add. σου V, τῇ ποίμνῃ σου Oi **137-138** αἱμάτων-πόλει D: αἱμάτων ἄνδρες προσκαθεζόμενοι/ ὅλοι τῇ ποίμνῃ σου, ἄχραντε Ef **141-142** versus delevit et in marg. scripsit Je in D: καθυπέταξας, ἄχραντε, / ἀλλὰ θαρροῦμεν ἔτι σῇ παντοδυνάμῳ χειρί, iidem vv. discrepant in V, Ef, Oi (ἀποκρουσθήτωσαν καὶ νῦν/ ἐκκλησίας οἱ δυσμενεῖς ἐκ τῆς σῆς παντοδυνάμου χειρός V, κατησχύνθησαν ἄπρακτοι,/ ἀποκρουσθήτωσαν καὶ νῦν οἱ ἐκκλησίας δυσμενεῖς Oi, Ef)
142 verba quae non leguntur in D restitui

129-130 Da. 3: 49-50 **133-134** Ex. 3: 2 **137** Ps. 54: 23
143 Ex. 38: 1-8 **144** σκηνὴ Ex. 26: 1 sqq. στάμνος Ex. 16: 33
145 λυχνία Ex. 38: 13-17 πλάξ Ex. 31: 18 **146** Ex. 6: 1 sqq.

τὸν θρόνον
τοῦ Θεοῦ τὸν ἔνδοξον,
τὴν ἁγνὴν παρθένον ὑμνήσωμεν συμφώνως.

Ἀποχωροῦσα ἐκ τῆς γῆς
πρὸς οὐράνιον ζωήν, ἄχραντε κόρη,
τὰς πλησίον καὶ φίλας
γυναῖκας μετακαλῇ
καὶ ταύταις
κλῆρον πολυτίμητον
τὴν σεπτὴν ἐσθῆτα καὶ ζώνην διανέμεις.

Τῶν ὁμοφύλων γυναικῶν
τὰς ἁγνῶς καὶ ταπεινῶς σοι λατρευούσας
ἐγκρατείᾳ καὶ πόνοις
F. 199 καὶ προσευχαῖς καὶ πηγαῖς
δακρύων,
κόρη, δυσωπήθητι
καὶ τὴν τῆς ὀργῆς τοῦ Θεοῦ μάστιγα στῆσον.

Ἱερωτάτη ξυνωρὶς
θεολόγων ἐπιστᾶσα τῇ κηδείᾳ
τῇ σεπτῇ σου, παρθένε,
ἐξ Ἀθηνῶν ἱεραῖς
φωναῖς σε, κόρη, προσεφθέγγοντο
καὶ τὸ κατὰ σὲ μέγα θαῦμα ἐπευφήμουν.

Νυμφὼν ὁλόφωτε Θεοῦ,
τῶν ἀγγέλων χαρμονὴ καὶ τῶν ἀνθρώπων
κραταιὰ προστασία,
τῶν ἀσκητῶν ἡ τρυφή,
τὸ κλέος
τῶν μαρτύρων, ἄχραντε,
σῷζε τοὺς σοὺς δούλους ἐκ πειρασμῶν παντοίων.

153 μετακαλῇ D,V, Oi: μετακαλεῖς Ef **163** post Θεοῦ add. κόρη V

150-156 Cfr. Tischendorf, Apocal. 115, 121, 130

www.tezaurliturgic.ro

Ὠδὴ ἑνάτη. Ἀνάρχου γεννήτορος

Μακάριος ἄνθρωπος,
οὗ ἔστιν ἡ ἀντίληψις·
παρὰ σοῦ ἀναβάσεις ἀεὶ διέθετο
θείας ἐν καρδίᾳ, ἃς εἶδεν ὁ Ἰακὼβ
ἐν κλίμακι ξένῃ,
τὸ μέγα μυστήριον σου, παρθένε, προμυούμενος.

Ἀρύσασθε, ἄνθρωποι,
πλουσίως τὰ ἰάματα
τῶν ψυχῶν καὶ σωμάτων ἀεὶ προρρέοντα
θείας ἐξ εἰκόνος, ἐξ ὕδατος ζωηροῦ
ὅλου τοῦ τεμένους,
ἐν ᾧ ἡρετίσατο κατοικεῖν ἡ θεοδόχος σκηνή.

Ῥαθύμως βιώσαντες
καὶ συμφυεῖ φαυλότητι
κατὰ σάρκα καὶ κόσμον πολιτευσάμενοι,
μέλλομεν πικρῶς ἀποθνήσκειν ψήφῳ Θεοῦ
κἀκεῖ ὑπομένειν
τὴν κόλασιν ἄφατον, ἧς, ἁγνή, ἡμᾶς ἐξάρπασον.

F. 199v Καρδίᾳ καὶ στόματι
καὶ λόγοις καὶ νοήμασι,
διανοίᾳ, αἰσθήσει, πᾶσι κινήμασι
μόνην Θεοτόκον κυρίως καὶ ἀψευδῶς,
ἁγνή, σε καλοῦμεν,
τὴν κλῆσιν κατάλληλον τῷ σῷ τόκῳ προσαρμόζοντες.

Ὁ μόνος φιλάνθρωπος,
ὁ μόνος ἀμνησίκακος,
ὁ Θεὸς τοῦ ἐλέους καὶ τῆς χρηστότητος,

Heirm. θ′ EE 35, n. 46, Joannis **187** τοῦ σεπτοῦ τεμένους Oi **192** post ψήφῳ add. Θεοῦ Me in D, verbum additum in V, Oi, Ef, post Θεοῦ praebet δικαίᾳ Oi **194** ἄφατον om. Oi

177-179 Ps. 83: 5 **180-181** Ge. 28: 12 **188** Ps. 131: 13-14
203 Cfr. Ps. 68: 16

ἄνες τὴν δικαίαν ὀργήν σου, ῥῦσαι ἡμᾶς
λοιμοῦ βαρυτάτου,
προρρίζους ἐκτρίβοντος, τῆς ἁγίας σου μητρὸς ταῖς εὐχαῖς.

Συσσείσασα πνεύματι
βιαίῳ καταδίωξον
τοὺς ἐχθροὺς τῆς σῆς ποίμνης μακράν, ὑπέραγνε,
τρέμοντας αἰσχύνῃ καὶ λύπῃ περιπαθεῖς,
ὅτι πονηρίαν
πικρῶς ἐμελέτησαν κατὰ τῆς κληρονομίας σου.

*

206 προρρίζους D,V, Ef: προρρίζου Oi τῆς D,V, Oi: τὰς Ef

212 Ps. 37: 12

www.tezaurliturgic.ro

XXIII[c]. *Ἕτερος κανών, οὗ ἡ ἀκροστιχίς·*
***Τὴν τῶν νόσων λύτειραν αἰνῶ παρθένον,* Μάρκος.**

F. 199[v]

Ἦχος γ'. Ὠδὴ πρώτη. *Ὁ τὰ ὕδατα πάλαι*

Τῆς τρυφῆς ὁ χειμάρρους,
ζῶν καὶ ἀλλόμενον ὕδωρ,
ὁ ἀεννάως προχέων,
Ἰησοῦ, ἄρδευσον τὸν ἐμψυγέντα μου νοῦν,
ὅπως ἐκβλαστήσειεν
ὕμνων ἡδύπνοα ἄνθη,
μέλη καταθύμια τῇ εὐκλεεῖ σου μητρί.

F. 200

Ἡ τοῦ κόσμου κυρία,
ἡ τῶν πιστῶν εὐφροσύνη,
τῶν βασιλέων τὸ κράτος,
τοῦ λαοῦ στήριγμα, τῶν ἱερέων τιμή,
μοναστῶν τὸ καύχημα,
πάντας ὁμοῦ συναθροίζει,
μέλλουσα μεθίστασθαι πρὸς οὐρανὸν ἀπὸ γῆς.

Ναὸς οὖσα Κυρίου
καὶ ἱερώτατος οἶκος,
τὸν ἱερὸν τοῦτον οἶκον
ποταμὸν ἄφθονον τῶν ἰαμάτων τελεῖς,
πᾶσαν καταρδεύοντα
τὴν οἰκουμένην ἐντεῦθεν,
ἐπιμεριζόμενον εἰς πλείονας ἀρχὰς νοητῶς.

Τοῦ Κυρίου τὸ στόμα,
τῆς ἐκλογῆς τὸ εὐῶδες
καὶ πολυτίμητον σκεῦος,
ὁ τῆς γῆς ἄγγελος, ἡ οὐρανόφρων ψυχή,
Παῦλος ὁ θειότατος

Heirm. α' EE 67, n. 95, Joannis **2** ζῶν D, V: τὸ Ef, τὸ ante ζῶν in Oi **4** ἐμψυγέντα D, V, Oi: ψυγέντα Ef **11** τὸ post λαοῦ add. Oi, Ef

1 Ps. 35: 8 **2-4** Jno. 4: 14 **15** Cfr. Ps. 64: 4 **23-24** Ac. 9: 15

Τὴν τοῦ Κυρίου μητέρα
ἐγκωμίοις πρέπουσιν ἐνθέως προσεφθέγγετο.

Ὦ πανύμνητε μῆτερ,
ἡ τῶν ἁγίων ἁπάντων
τὸν ἁγιώτατον λόγον
ὑπὲρ νοῦν τέξασα, τὴν εὐτελῆ προσφορὰν
ταύτην δεχομένη μου,
τῆς συμφορᾶς τῆς παρούσης
λύτρωσαι τὴν πόλιν σου, ἵνα σε ἔτι ὑμνῶ.

Ὠδὴ τρίτη. Ὁ ἐκ μὴ ὄντων.

Νοὸς ἐνθέου
ἀμέσοις ἐπιβολαῖς
πλουσίως δεχόμενοι τὰς ἀκτῖνας τοῦ πνεύματος,
οἱ προφῆται πόρρωθεν
προεθεώρουν τὸν τόκον σου, παρθένε.

Ναὸν καὶ πύλην,
λυχνίαν καὶ κιβωτὸν
καὶ στάμνον καὶ τράπεζαν καὶ θεόγραφον πλάκα σε
καὶ ὄρος κατάσκιον
δι' αἰνιγμάτων ἐκάλουν, Θεοτόκε.

F. 200[v]

Ὁ κορυφαῖος
τῆς ὅλης τῶν μαθητῶν
σεπτῆς ὁμηγύρεως οὐκ ὀθόνην ὀπτάνεται
κατιοῦσαν ἄνωθεν,
τὴν δὲ ψυχὴν τῆς δεσποίνης ἀνιοῦσαν.

Heirm. γ' EE 79, n. 112, Germani, heirm. om. D **34** τῆς D, V, OIK: ἐκ Ef **35** πόλιν D: ποίμνην Je in D, Oi, Ef, τοὺς δούλους σου V

41 ναός III Ki. 6: 3-36 πύλη Ez. 44: 1-3 **42** λυχνία Ex. 38:13-17 κιβωτός Ex. 38: 1-8 **43** στάμνος Ex. 16: 33 τράπεζα Ex. 38: 9-12 πλάξ Ex. 31: 18 **44** Hb. 3: 3 **48-49** Ac. 10: 11 **46-50** Cfr. Tischendorf, Apocal., 110

www.tezaurliturgic.ro

Σαλευομένους
τοὺς δούλους σου, ἀγαθή,
πολλοῖς δεινῶν πνεύμασι
καὶ ποικίλοις παθήμασιν
ἀκλονήτους ἔδρασον
ἐν ἀσαλεύτῳ τῆς σῆς ἐλπίδος πέτρᾳ.

Ὠδὴ τετάρτη. Ἔθου πρὸς ἡμᾶς

Ὤφθη ὁ Θεὸς
ἐν Σινᾷ τὸν νόμον τιθέμενος
δείμασι βροντῶν καὶ ἀστραπῶν
καὶ φρικαλέοις κτύποις ἀπρόσιτος,
διά σοῦ δέ, πάναγνε,
πᾶσιν ἐφάνη ἄνθρωπος γενόμενος.

Νῦν ὁ ἱερὸς
ἱεράρχης πρῶτος Ἰάκωβος
μέλους προεξάρχει ἱεροῦ,
νῦν οἱ λοιποὶ ἀπόστολοι ἕπονται,
νῦν πιστῶν ὁ σύλλογος,
νῦν αἱ γυναῖκες σύντονον ἐξάδουσιν.

Λύμης φθαρτικῆς,
ἡ ζωῆς ταμίαν κυήσασα,
ῥῦσαι τὸν λαόν σου, ἀγαθή,
τὸν εἰς τὴν σὴν θαρροῦντα βοήθειαν,
ἵνα μὴ γενώμεθα
ὀλιγοστοὶ παρὰ πάντα τὰ ἔθνη τῆς γῆς.

Ὕμνοις ἱεροῖς
καὶ ᾠδαῖς ἀσμάτων εὐφημοῦμεν σε,

Heirm. δ′ EE 67, n. 95, Joannis **59** δείμασι D, V, Ef: δείγμασι Oi **60** κτύποις D: τύποις V, Oi, Ef **68** σύντονον D: συντόνως V, Ef, Oi **71** τὸν λαόν σου D, V: σου τὴν ποίμνην Ef, τὴν ποίμνην σου Oi **72** τὸν D, V: τὴν Oi, Ef, θαρροῦντα D, V: θαρροῦσαν Oi, Ef **76** εὐφημοῦμεν D, V, Oi: ὑμνοῦμεν Ef

57-60 Ex. 19: 16-20 **74** Cfr. Ob. 1: 2, Da. 3: 37

ἣν μόλις ἀξίως φλογεραὶ
τῶν ἀσωμάτων γλῶσσαι γεραίρουσιν
ὡς Θεὸν γεννήσασαν
τὸν ἐπὶ πάντων, κόρη πολυύμνητε.

F. 201 **Ὠδὴ πέμπτη. Ὡς εἶδεν Ἡσαΐας**

Τὸ σκήνωμα τοῦ λόγου,
ἡ τῆς σοφίας μήτηρ, ἡ πηγὴ τῆς ζωῆς,
μειλιχίοις λόγοις ἀνελαμβάνετο
τοὺς θείους ἱερομύστας
ἀθυμοῦντας ἐν τῷ ταύτης χωρισμῷ,
τὴν ἐκδεξομένην αὐτὴν δόξαν μηνύουσα.

Ἐπήρθη ὑπεράνω
τῶν οὐρανίων νόων ἡ σὴ δόξα, σεμνή,
καὶ ἡ ἀρετή σου πάντα διέδραμε
τὸν κόσμον· τοὺς οὐρανοὺς γὰρ
τὸν καλύψαντα Θεὸν τῇ ἀρετῇ
τέτοκας τῷ κόσμῳ ὡς ἄνθρωπον τῷ σχήματι.

Ἰδὼν ὁ Ἡσαΐας
σεραφικὴν λαβίδα καθαρσίου πυρὸς,
τὸν ἐκ σοῦ φανέντα Θεὸν ἐγίνωσκε,
τοῦ κόσμου τὰς ἁμαρτίας
ἀφανίζοντα θεότητος πυρί,
φλέγοντι ἀλύπως καὶ μαλακῶς δροσίζοντι.

Ῥητόρων εὐγλωττία
καὶ πιθανότης ἔντεχνος ἀργεῖ τῷ καιρῷ
τῆς φρικτῆς ἐκείνης ἀνταποδόσεως·
ἐντεῦθεν διὸ ἑτοίμους

Heirm. ε′ EE 71, n. 101, Cosmae **82** ἡ πηγὴ τῆς ζωῆς D,V, Oi: ἡ πηγὴ τῆς σοφίας, ἡ μήτηρ τῆς ζωῆς Ef **91** post Θεὸν om. τῇ V, Oi, Ef

77-78 Cfr. Tischendorf, Apocal. 109, 111 **82** σοφία Cfr. I Co. 1: 24 ζωή Cfr. Jno. 14: 6 **83-85** Tischendorf, Apocal., 108-109 **90-91** Hb. 3: 3 **93-95** Is. 6:6

www.tezaurliturgic.ro

ἑαυτοὺς ἀπεργασώμεθα, πιστοί,
πράξεσιν ἐνθέοις τὸν κριτὴν ἱλεούμενοι.

Ἀνάψας θρυαλλίδα
τὴν ἑαυτοῦ ὁ ἥλιος ἡμῖν φλογεράν,
τὴν ἱκμάδα πᾶσαν ἐναπῃθάλωσεν·
ἐντεῦθεν λοιμὸς ἀνάψας
δραστηρίους πυρετοὺς διακαεῖς
ἐν ἡμῖν ἐγείρει, τοῦ μέλλοντος εἰκόνα πυρός.

F. 201v

Ὠδὴ ἕκτη. Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων

Νεανικῶς οἱ θεολόγοι
ταῖς νεφέλαις ἐποχούμενοι
ὡς ἐμπειρότατοι ἱππεῖς,
διεδίφρευον αἰθέριοι,
τὸ ἅρμα τοῦ δεσπότου
ἀπὸ τῆς γῆς αἰρόμενον
ἐπειγόμενοι φθάσαι.

Ἄγγελος θεῖος πρωτοστάτης
οὐρανόθεν ἀφικόμενος,
φοίνικος κλάδον εὐθαλῆ,
τοῦ θανάτου νίκης σύμβολον,
σοὶ φέρων ἐγχειρίζει,
τὴν ποθεινὴν μετάστασιν
ἐμφανῶς ἀπαγγέλλων.

Ἴσχυσε πρὶν ἡ ἁμαρτία
παραδείσου ἀπολαύσεως
καὶ ἀνωδύνου με ζωῆς
ἀπορρίψαι ἀτιμότατα,
σὺ δέ με ἀνωρθώσω,

Heirm. ς′ EE 78, n. 110, Germani **112** ταῖς νεφέλαις D,V, Oi: τὰς νεφέλας Ef **128** ἀτιμότατα D,V, Oi: ἀτιμώματα Ef **129** ἀνωρθώσω D, V, Oi: ἀνορθώσω Ef

111-117 Tischendorf, Apocal. 97, 99-100 **118-124** Tischendorf, Apocal. 114-115 **125-128** Ge. 3: 6

μῆτερ ἁγνή, κυήσασα
τὸν Θεὸν ἀνωδύνως.

Νεκροποιοῦ κακίας λύμην
ἑαυτοῖς προαποθέμενοι,
σωματοφθόρῳ λύμῃ νῦν
θείᾳ δίκῃ συνεσχέθημεν·
ἡ τέξασα τοῦ Ἅδου
τὸν νεκρωτήν, ἐλέησον
τοὺς δεινῶς νεκρουμένους.

Ὠδὴ ἑβδόμη. Ὡς πάλαι τοὺς εὐσεβεῖς

Ὡς πάλαι τοὺς εὐσεβεῖς
τρεῖς παῖδας ἐδρόσισας ἐν τῇ φλογὶ τῇ χαλδαϊκῇ,
καὶ τοὺς ἐν καμίνῳ κειμένους πυρετῶν
τῇ σῇ δρόσῳ ἴασαι,
πανελεῆμον Κύριε,
τῆς μητρός σου ταῖς ἁγίαις εὐχαῖς.

Παρίστανται οἱ σεπτοὶ
τοῦ λόγου διάκονοι πρὸ ὀφθαλμῶν σου πανευλαβῶς,
τῆς εὐλογημένης Θεοῦ λόγου μητρός,
F. 202
καὶ τὸν λόγον ἄνωθεν
σὺν ἀσωμάτοις τάξεσι
κατιόντα ἐποπτεύουσιν.

Ἀκούσωμεν νοητῶς
ᾠδὴν παναρμόνιον, ᾄσμα τερπνόν, μέλος λιγυρόν,
τῶν ἐπουρανίων δυνάμεων σεπτῶς
ὑμνουσῶν τὴν ἄχραντον

Heirm. ζ′ EE 67, n. 95, Joannis **134** σωματοφθόρῳ D, V, Oi: σωματοφόρῳ Ef **138** νεκρουμένους D, V: νενεκρωμένους Oi, νεκρωθέντας Ef **141** καὶ ἡμᾶς κειμένους καμίνῳ πυρετῶν Ef **142** ἴασαι V, Oi, Ef: ἴασας D **154** ὑμνουσῶν D, V: ὑμνοῦσι Oi, ὑμνούντων Ef

139-142 Da. 3: (49-50) **145-150** Tischendorf, Apocal. 103, 107 **151-156** Tischendorf, Apocal. 109, 111

www.tezaurliturgic.ro

ἑαυτοὺς ἀπεργασώμεθα, πιστοί,
πράξεσιν ἐνθέοις τὸν κριτὴν ἱλεούμενοι.

Ἀνάψας θρυαλλίδα
τὴν ἑαυτοῦ ὁ ἥλιος ἡμῖν φλογεράν,
τὴν ἰκμάδα πᾶσαν ἐναπηθάλωσεν·
ἐντεῦθεν λοιμὸς ἀνάψας
δραστηρίους πυρετοὺς διακαεῖς
ἐν ἡμῖν ἐγείρει, τοῦ μέλλοντος εἰκόνα πυρός.

F. 201[v]

Ὠδὴ ἕκτη. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

Νεανικῶς οἱ θεολόγοι
ταῖς νεφέλαις ἐποχούμενοι
ὡς ἐμπειρότατοι ἱππεῖς,
διεδίφρευον αἰθέριοι,
τὸ ἅρμα τοῦ δεσπότου
ἀπὸ τῆς γῆς αἰρόμενον
ἐπειγόμενοι φθάσαι.

Ἄγγελος θεῖος πρωτοστάτης
οὐρανόθεν ἀφικόμενος,
φοίνικος κλάδον εὐθαλῆ,
τοῦ θανάτου νίκης σύμβολον,
σοὶ φέρων ἐγχειρίζει,
τὴν ποθεινὴν μετάστασιν
ἐμφανῶς ἀπαγγέλλων.

Ἴσχυσε πρὶν ἡ ἁμαρτία
παραδείσου ἀπολαύσεως
καὶ ἀνωδύνου με ζωῆς
ἀπορρίψαι ἀτιμότατα,
σὺ δέ με ἀνωρθώσω,

Heirm. ς′ EE 78, n. 110, Germani **112** ταῖς νεφέλαις D,V, Oi: τὰς νεφέλας Ef **128** ἀτιμότατα D,V, Oi: ἀτιμώματα Ef **129** ἀνωρθώσω D, V, Oi: ἀνορθώσω Ef

111-117 Tischendorf, Apocal. 97, 99-100 **118-124** Tischendorf, Apocal. 114-115 **125-128** Ge. 3: 6

μῆτερ ἁγνή, κυήσασα
τὸν Θεὸν ἀνωδύνως.

Νεκροποιοῦ κακίας λύμην
ἑαυτοῖς προαποθέμενοι,
σωματοφθόρῳ λύμῃ νῦν
θείᾳ δίκῃ συνεσχέθημεν·
ἡ τέξασα τοῦ Ἅδου
τὸν νεκρωτήν, ἐλέησον
τοὺς δεινῶς νεκρουμένους.

Ὠδὴ ἑβδόμη. *Ὡς πάλαι τοὺς εὐσεβεῖς*

Ὡς πάλαι τοὺς εὐσεβεῖς
τρεῖς παῖδας ἐδρόσισας ἐν τῇ φλογὶ τῇ χαλδαϊκῇ,
καὶ τοὺς ἐν καμίνῳ κειμένους πυρετῶν
τῇ σῇ δρόσῳ ἴασαι,
πανελεῆμον Κύριε,
τῆς μητρός σου ταῖς ἁγίαις εὐχαῖς.

Παρίστανται οἱ σεπτοὶ
τοῦ λόγου διάκονοι πρὸ ὀφθαλμῶν σου πανευλαβῶς,
F. 202 *τῆς εὐλογημένης Θεοῦ λόγου μητρός,*
καὶ τὸν λόγον ἄνωθεν
σὺν ἀσωμάτοις τάξεσι
κατιόντα ἐποπτεύουσιν.

Ἀκούσωμεν νοητῶς
ᾠδὴν παναρμόνιον, ᾄσμα τερπνόν, μέλος λιγυρόν,
τῶν ἐπουρανίων δυνάμεων σεπτῶς
ὑμνουσῶν τὴν ἄχραντον

Heirm. ζ′ EE 67, n. 95, Joannis **134** σωματοφθόρῳ D, V, Oi: σωματοφόρῳ Ef **138** νεκρουμένους D, V: νενεκρωμένους Oi, νεκρωθέντας Ef **141** καὶ ἡμᾶς κειμένους καμίνῳ πυρετῶν Ef **142** ἴασαι V, Oi, Ef: ἴασας D **154** ὑμνουσῶν D, V: ὑμνοῦσι Oi, ὑμνούντων Ef

139-142 Da. 3: (49-50) **145-150** Tischendorf, Apocal. 103, 107 **151-156** Tischendorf, Apocal. 109, 111

www.tezaurliturgic.ro

μεθισταμένην σήμερον
πρὸς τὸν κτίστην καὶ υἱὸν αὐτῆς.

Ῥητόρων καὶ σοφιστῶν
πολύφθογγα στόματα, γλῶσσαι λαμπραί, λόγοι τεχνικοί,
μέθοδοι καὶ κάλλη καὶ χάριτες τερπναὶ
τοῖς σοῖς ἐπιβάλλουσαι
ἐπαίνοις ἠπορήθησαν,
θεομῆτορ ἀειπαρθένε.

Ὠδὴ ὀγδόη. Ἀστέκτῳ πυρὶ ἐνωθέντες

Θεὸς θεῶν Κύριος ὤφθη
ἐν Σιών, ὡς πάλαι ὁ Δαβὶδ προανεφώνει·
τῷ πληρώματι γὰρ τῶν χρόνων
μόλις εἰς κατοίκησιν εὗρε σκεῦος,
θεῖον σκεῦος ἁγιότητος,
σκεῦος ἀφθαρσίας, ὑπέρτιμον ταμεῖον.

Ἐθνῶν ἀλλοφύλων ἐφόδου,
μάχης ἐμφυλίου καὶ σεισμοῦ, πυρός, μαχαίρας
καὶ λιμοῦ καὶ λοιμώδους νόσου
φύλαττε τὴν πόλιν σου, Θεοτόκε,
πᾶσαν τὴν ἐλπίδα ἄνωθεν
εἰς σὲ κεκτημένην καὶ σοὶ ἀνακειμένην.

Νεκρῶν καὶ τῶν ζώντων ὁ ἔχων,
λόγε, ἐξουσίαν, ὁ δυνάμενος ὀλέσαι
ἐν γεέννῃ ψυχὴν καὶ σῶμα,
μή με ὥσπερ ἄκαρπον δένδρον τέμῃς,
δός μοι προθεσμίαν, εὔσπλαχνε,
ταῖς τῆς παναγίας μητρός σου ἱκεσίαις.

Heirm. η′ EE 71, n. 101, Cosmae **166** σκεῦος D, V, Oi: σκῆνος Ef **172** τὴν πόλιν σου D: τοὺς δούλους σου V, τὴν ποίμνην σου Oi, Ef **174** κεκτημένην καὶ σοὶ ἀνακειμένην D, Oi, Ef: κεκτημένους καὶ σοὶ ἀνακειμένους V **175** post καὶ et supra lineam τῶν add. Me in D **179** εὔσπλαχνε (sic) D

163-164 Ps. 83: 7 **178** Cfr. Jno. 15: 2

F. 202v

Ὁ μέγας τῷ ὄντι παρθένος
εὐαγγελιστὴς καὶ θεολόγος Ἰωάννης,
τὴν παρθένον καὶ Θεοτόκον
ἔχων εἰς τὰ ἴδια ὡς μητέρα,
πᾶσαν σπουδὴν ἐπιδείκνυται,
τιμῶν τὴν ὁσίαν τοῦ ζωοδόχου σκήνους.

Νυμφίος ὁ κάλλει ὡραῖος
παρὰ τοὺς υἱοὺς τοὺς τῶν ἀνθρώπων τὴν μητέρα
καὶ ἀνύμφευτην μόνην νύμφην
καταβὰς ὑπέρλαμπρος προσκαλεῖται·
«δεῦρο ἐλθὲ ἡ πλησίον μου,
ἡ καλή μου νύμφη, περιστερὰ τελεία.»

Ὠδὴ ἑνάτη. Ἐν Σιναίῳ τῷ ὄρει κατεῖδε σε

Μὴ τροπὴν ὑπομείνας θεότητος
τῆς ἀτρέπτου, ὁ υἱός
τοῦ ἀνάρχου πατρὸς ἀρχὴν ἔλαβεν
ἐπ᾽ ἐσχάτων ἡμερῶν
ἐξ ἁγίας σαρκός σου
ἄνθρωπος γενόμενος
καὶ ὑπερτέραν σε
τῶν ἀγγελικῶν διακόσμων ἀνέδειξεν.

Ἀναβάτας, ὁπλίτας, ἀλάστορας,
ἐπιλέκτους φοβερούς,
πεποιθότας ἐν ἵπποις καὶ ἅρμασι
καὶ μυρίαις μηχαναῖς,

Heirm. θ′ EE 74, n. 104, Andreae **186** τὴν ὁσίαν τοῦ ζωοδόχου D, V: τὴν ἀξίαν τοῦ θεοδόχου Oi, τὴν οὐσίαν τοῦ θεοδόχου Ef **188** post υἱοὺς om. τοὺς V, Oi **203** πεποιθότας D, Ef: πεποκότας V, πεπτωκότας Oi

181-186 Cfr. Tischendorf, Apocal. 97-98, 126-127, 131
187-188 Ps. 44: 2 **191-192** Ca. 2 : 10-13; 5: 2 **196** Ac. 2: 17
201 Cfr. Ex. 15: 1 **203** Cfr. Ps. 19: 7

www.tezaurliturgic.ro

κραταιοῦ Θεοῦ μῆτερ,
ἔμπροσθεν τῆς πόλεως
ταύτης κατέστρωσας
καὶ παρὰ τὸν Ἅδην αὐτοὺς διεσκόρπισας.

Ῥητορεύων ἐν λόγοις καὶ πράγμασιν
ὁ θεόφθογγος Λουκᾶς,
τοῖς μὲν λόγοις τὸ μέγα μυστήριον
ἀνεγράψατο τὸ σόν,
τοῖς δὲ χρώμασι ταύτην τὴν θείαν εἰκόνα σου
διεμορφώσατο
χάριτος ἐκ σοῦ πληρωθεῖσαν, ὑπέραγνε.

F. 203

Κραταιὸν ἐν πολέμοις ἀνάδειξον
ἀριστέα, νικητήν,
τοὺς ἐχθροὺς τοῦ σταυροῦ σου συντρίβοντα,
τὸν πιστότατον ἡμῶν
βασιλέα, οἰκτίρμον,
τὴν σὴν προβαλλόμενον
ἄμαχον δύναμιν
καὶ τὴν προστασίαν τῆς σῆς παναχράντου μητρός.

Ὁ δεσπόζων τοῦ κράτους, ὡς γέγραπται,
τῆς θαλάσσης, κραταιέ,
καὶ τὸν σάλον αὐτῆς συγκυκώμενον
κατευνάζων ὡς Θεός,

206 πόλεως D, V: ποίμνης Oi, Ef **206-208** versus Je hoc modo correxit in D: ἔμπροσθεν τῶν δούλων σου/ τούτους κατάστρωσον καὶ παρὰ τὸν Ἅδην αὐτοὺς διεσκόρπισον (sic), qua re quae primum scripta sunt legisse non potui. Textum restitui auctoritate cod. V et editionum Oi, Ef **207** ταύτης D, Oi, Ef: πολλάκις V **213** ταύτην V, Ef: verbo ξένως aliud verbum Je substituit, quod autem non legitur **219-220** τὸν -οἰκτίρμον D: τὸν πιστότατον λαὸν συντριβέντα ἀλλὰ νῦν V, τὸν πιστότατον λαὸν συντριβέντα, οἰκτίρμον Oi ἡμῶν βασιλέα D: λαὸν τῆς σῆς ποίμνης Je in D **221** τὴν σὴν προβαλλόμενον D, V: ἀλλὰ νῦν τὴν σὴν προβαλλόμενον Oi, Ef, qui autem τὴν om.

208 Ps. 140: 7 **216** Si. 46: 1 **224-225** Ps. 88: 9

σὺ τὸν κλύδωνα τοῦτον
στῆσον, πολυέλεε,
ῥῦσαι τὴν πόλιν σου
τοῦ πικροῦ θανάτου τῆς ἀώρου τομῆς.

Συνεχόμενοι πάντοθεν θλίψεσι
καὶ ποικίλοις πειρασμοῖς,
ἐπὶ σὲ καταφεύγομεν, ἄχραντε,
τὴν ἐλπίδα τῶν πιστῶν,
τὴν τοῦ γένους προστάτιν,
τὸ θεῖον καλλώπισμα·
ῥῦσαι δεόμεθα
πάσης συμφορᾶς τοὺς σοὺς δούλους, ὑπέραγνε.

*

230 τὴν πόλιν σου D: τοὺς δούλους σου V, τὴν ποίμνην σου Oi, Ef **237** versus om. V, Oi, Ef, qua re in Ef alius v. in fine troparii additus est: Θεοτόκε ἁγνή **239** ὑπέραγνε D, V, Oi: δέσποινα Ef

www.tezaurliturgic.ro

XXIII[d]. *Ἕτερος κανών, οὗ ἡ ἀκροστιχίς·*
Χαίροις χαρᾶς ἔκφανσις, ἀρᾶς ἡ λύσις, Μάρκου.

F. 203 **Ὠδὴ πρώτη. Ἦχος δ'. *Ἀνοίξω τὸ στόμα μου***

Χαρᾶς ἡμῖν πρόξενος
ἀδιαδόχου γεγένησαι,
χαρὰν τὴν ἀΐδιον Χριστὸν γεννήσασα,
ὅθεν, δέσποινα,
καὶ ταύτας τὰς ἡμέρας
τῆς σῆς μεταστάσεως χαρᾶς πληρούμεθα.

F. 203[v] Ἀνοίξασα, δέσποινα,
τὰς παναχράντους ὠλένας σου,
ἐν αἷς περιέλαβες τὸν πάντα φέροντα
θείῳ ῥήματι,
ἐκ πάσης ἐπηρείας
τὴν πόλιν σου σκέπασον, τὴν σὲ δοξάζουσαν.

Ἰδού, ἡ ἀνάκλησις
τῆς ταπεινῆς ἡμῶν φύσεως
ζωὴν πρὸς οὐράνιον αἴρεται χαίρουσα,
νῦν ὁ ἅγιος
καὶ θεοδόχος οἶκος
ὀρέων ὑπέρτερος τῶν θείων γίνεται.

Ῥημάτων δρεψάμενοι
τοῦ ἀρχαγγέλου, τὸ «χαῖρε» σοι
προσᾴδομεν, δέσποινα· «χαῖρε, χαρὰ τῶν πιστῶν,
χαῖρε, λύτρωσις
τῆς λύπης τῆς ἀρχαίας,
χαῖρε, ἐπανόρθωσις τοῦ πρωτοπλάστου Ἀδάμ».

Heirm. α' EE 99, n. 141, Joannis **12** τὴν πόλιν σου D: τὴν ποίμνην σου Oi, τοὺς δούλους σου V τὴν σὲ δοξάζουσαν: τοὺς σὲ δοξάζοντας δούλους σου σκέπασον τοὺς σὲ δοξάζοντας V

9-10 He. 1: 3 **19-20** Lu. 1: 28

Ὁ μέγας ἀρχάγγελος
ἐξ οὐρανῶν ἀφικόμενος,
χαρᾶς εὐαγγέλια πάλιν κομίζει σοι·
χαῖρε, δέσποινα,
νῦν μᾶλλον, χαῖρε, χαῖρε,
χαῖρε, πρὸς ἀΐδιον ζωὴν ἀπαίρουσα.

Ὠδὴ τρίτη. *Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε,*

Ἰδοῦσα τὴν κάκωσιν, παρθένε,
λαοῦ τοῦ πιστοῦ καὶ ἐκλεκτοῦ,
ὃν περιεποιήσατο
Θεὸς ἰδίῳ αἵματι,
στῆθι, ταχὺ δυσώπησον
ὑπὲρ ἡμῶν τὸν οἰκτίρμονα.

Στειρεύουσα μήτρα παραδόξως
καρπὸν εὐκλεῆ κόσμῳ παντὶ
εἰς εὐωχίαν ἄϋλον
πνευματικῶς προήνεγκε,
σὲ τὴν ἁγνὴν καὶ ἄμωμον,
τὴν τὸν Θεὸν σωματώσασαν.

Χαρᾶς καὶ εἰρήνης καὶ ἀγάπης
καὶ μακροθυμίας ἀκριβοῦς,
F. 204 ἀγαθωσύνης, πίστεως,
χρηστότητος, πραότητος
καὶ ἐγκρατείας πλήρωσον
τοὺς τῷ ναῷ σου προσμένοντας.

Ἀὴρ ἡγιάσθη τῇ ἀνόδῳ
τῆς ἡγιασμένης σου ψυχῆς,
ὡς ἐφωτίσθη ἅπασα

Heirm. γ' EE 100, n. 141, Joannis **26** οὐρανῶν D: οὐρανοῦ V Oi **48** ex προστρέχοντας corr. προσμένοντας D, verbum iam correctum in V, Oi

25-30 Tischendorf, Apocal., 96 **31-32** Ex. 3: 7; Nu. 11: 15
33-34 Ac. 20: 28 **37-42** Tischendorf, Evang., 4-10 **43-46** Ga. 5: 22

www.tezaurliturgic.ro

ἡ γῆ ἐπὶ τῷ τόκῳ σου
σὺ γὰρ τὰ ἐπουράνια
τοῖς ἐπιγείοις διήλλαξας.

Ὠδὴ τετάρτη. Ὁ καθήμενος ἐν δόξῃ

Ῥέων θράσει πικροτάτῳ
καὶ πολὺς ἐκτεινόμενος,
ὁ παμφάγος Ἅδης
ἔστη, τετοκυίας σου, πάναγνε,
τὸν ζωοδότην δεσπότην·
ὁ γὰρ θάνατος
τοῖς πιστεύουσιν ἤδη ζωῆς θείας ἄμειψις.

Ἀνυμνοῦμεν σε βοῶντες·
«χαῖρε, ὄρος κατάσκιον,
χαῖρε, πῖον ὄρος
καὶ τετυρωμένον ἐν πνεύματι,
χαῖρε, οὐράνιε κλίμαξ,
χαῖρε, γέφυρα
ἡ μετάγουσα ἐκ τοῦ θανάτου πρὸς θείαν ζωήν».

Σέ, τὴν ἔμψυχον παστάδα
τοῦ δεσπότου τῆς κτίσεως,
τὸν ναὸν τὸν θεῖον,
τὸ ἡγιασμένον παλάτιον,
τὴν ἀδιόδευτον πύλην,
τὴν ὑπέρτιμον
κλίνην, δέσποινα, χρεωστικῶς μεγαλύνομεν.

Ἐκ παντοίων με κινδύνων
τὴν σὴν πόλιν περίσωζε,
τοῦ Θεοῦ ἡ πόλις,

Heirm. δ′ EE 95, n. 135, Joannis **66** κλίμαξ (sic) codd.
77 τὴν σὴν πόλιν D: τοὺς σοὺς δούλους V, τὴν σὴν ποίμνην Oi

63 Hb. 3: 3 **64-65** Ps. 67: 15 **66** Ge. 28: 12 **71** Cfr. Ps. 64: 4
72 III Ki. 7: 38-49 **73** Ez. 44: 1-3 **74-75** Ca. 3: 7

περὶ ἧς ἐν κόσμῳ λελάληται
δεδοξασμένα, παρθένε
ὑπερένδοξε,
ἡ δοξάζουσα τοὺς εὐσεβῶς σε δοξάζοντας.

F. 204v

Ὠδὴ πέμπτη. Ἑξέστη τὰ σύμπαντα

Κλινούσῃ τὰ γόνατα,
εἰς προσευχήν σοι, ἄχραντε,
τὰ ἐπὶ τοῦ ὄρους δένδρα πάντα
καθάπερ ἔμψυχα συνεκλίνετο,
μένειν οὐ δυνάμενα, τοῦ σοῦ
κλινομένου σώματος,
ἐν ὀρθίῳ τῷ σχήματι.

Φωτὸς οἰκητήριον
χαῖρε, τὸ σκότος λύσασα,
χαῖρε, ἡ τὸν ἥλιον τῷ κόσμῳ
προαγαγοῦσα, φωτὸς νεφέλη χρυσῆ,
χαῖρε, στύλε πύρινε, δι᾽ ἧς
πρὸς τὴν ἐπουράνιον
ὁδηγούμεθα εἴσοδον.

Ἁγνίζονται, δέσποινα,
τῷ σῷ ναῷ προστρέχοντες,
ὁ φιλευσεβής σου λαὸς οὗτος
πρὸς τὴν ἡμέραν ἑτοιμαζόμενοι,
καθ᾽ ἣν ἀπὸ γῆς πρὸς οὐρανὸν
ἀπῆρας, τὴν χάριν σου
δι᾽ εἰκόνος λιποῦσα ἡμῖν.

Νεφέλαις ὀχούμενος
κριτὴς ὁ ἐπουράνιος,
ὅτε μετ᾽ ἀγγέλων δόξης ἔλθῃ

Heirm. ε′ EE 100, n. 141, Joannis **79** λελάληται D, V: λελάληντε Oi
98 versum in marg. cod. D add. Me **106** ὅτε D, V: ὅταν Oi

78-80 Ps. 86: 3 **93-94** Ex. 14: 24 **104-105** Mar. 13: 26

www.tezaurliturgic.ro

κρίσιν δικαίαν ποιῆσαι, δέσποινα,
τότε παρρησίᾳ μητρικῇ
πρόστηθι τῶν δούλων σου,
τῶν πιστῶς ἀνυμνούντων σε.

Ὠδὴ ἕκτη. Ἔβόησε

Συνέσεως
καὶ σοφίας ὑπάρχουσα ἔμπλεως,
συνετήρεις
ἐν καρδίᾳ συμβάλλουσα ἅπαντα
τὰ τετελεσμένα
ἐπὶ σοὶ θαυμασίως, θεόνυμφε.

Ἱστάμενοι
πρὸ προσώπου τῆς θείας εἰκόνος σου,
οἱ πλουτοῦντες
τοῦ λαοῦ σου πιστῶς λιτανεύουσι,
τὴν σὴν πόλιν ῥῦσαι
τῆς παρούσης πληγῆς, ὑπεράμωμε.

F. 205

Στολίζεται
διὰ σοῦ σωτηρίου ἱμάτιον
καὶ χιτῶνα
εὐφροσύνης ἡ φύσις, θεόνυμφε,
ἡ γεγυμνωμένη
συμβουλίᾳ δεινοῦ πολεμήτορος.

Αἰρόμενοι
πανταχόθεν οἱ θεῖοι ἀπόστολοι,
ταῖς νεφέλαις
θεαρχίῳ βουλήματι φέρονται
πρὸς τὴν βασιλίδα
καὶ κυρίαν ἁπάσης τῆς κτίσεως.

Heirm. ϛ′ EE 125, n. 172 (Εἰς τὴν προσκύνησιν τοῦ τιμίου σταυροῦ)
121 πόλιν D, V: πολίμνην Oi

111-112 Cfr. Ex. 35: 31 **119-120** Ps. 44: 12 **124-126** Is. 61: 10
127-128 Ge. 3: 7-13 **129-134** Tishendorf, Apocal., 97, 99-100

Ὠδὴ ἑβδόμη. Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες

Ῥάβδος ἔντιμος, τὸ ἄνθος τὸ ἀμάραντον,
χαῖρε, ἀνθήσασα,
χαῖρε, ὁ πόκος ἐξ οὗ
ἡ δρόσος ἀπέσταξε, φλογμὸν ἡ λύουσα
τὸν πολύθεον,
χαῖρε, σκηνὴ τῆς χάριτος
καὶ νυμφὼν ἀθανασίας.

Ἁμαρτίας τῶν ψυχῶν καὶ ἀρρωστήματα
σωμάτων ἴασαι
τῶν προστρεχόντων, ἁγνή,
τῷ θείῳ τεμένει σου καὶ αἰτουμένων πιστῶς
τὰ ἰάματα·
σὺ γὰρ πηγὴ τῆς χάριτος
καὶ ζωῆς ἀφθόνου ῥεῖθρον.

Στειρευούσης ἐκ νηδύος προελήλυθας
ἐπαγγελίας καρπός,
δῶρον εὐχῆς ἱερᾶς·
ὅθεν σου δεόμεθα τὴν ἀκαρπίαν ἡμῶν
μεταποίησον
εἰς εὐκαρπίαν πράξεων
ἀγαθῶν, εὐλογημένη.

Ἡ βασίλισσα τοῦ κόσμου μετατίθεται
πρὸς οὐρανὸν ἀπὸ γῆς,
οἱ τῶν ἀγγέλων χοροὶ
θαυμάζουσι, βλέποντες θαῦμα παράδοξον,
φύσιν βρότειον
ὑπὲρ αὐτοὺς ἀστράπτουσαν
ἁγιότητος ἀκτῖσιν.

Heirm. ζ′ EE 101, n. 142, Cosmae
136 ἀνθήσασα D, V: βλαστήσασα Oi

135 ῥάβδος Nu. 17: 20 **137** Jd. 6: 37 **140** Ex. 26: 1 sqq.
149-151 Tishendorf, Evang., 4-10

www.tezaurliturgic.ro

F. 205v

Ὠδὴ ὀγδόη. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ

Λῦσον τὴν ἀχλὺν τῶν νοσημάτων,
ὑγείας τὴν σταθερὰν γαλήνην αἴτησαι
πόλει τῇ τιμώσῃ σε,
μῆτερ ἀπειρόγαμε·
σὺ γὰρ ἡμῖν ἐγέννησας
τὸν ἰατρὸν τῶν ψυχῶν
καὶ νόσων σαρκικῶν ἐλατῆρα,
τὸν τὰς ἀσθενείας ἡμῶν ἀνειληφότα.

Ὑμνοῦντας σε, δέσποινα, προσδέχου
τοὺς δούλους σου κατὰ χρέος· «χαῖρε, ἄσπορε
χώρα ἡ βλαστήσασα
στάχυν ζωοπάροχον,
χαῖρε, τοῦ ζῶντος ὕδατος
πηγὴ ἀκένωτε,
ἡ πύλη, ἣν ὁ λόγος διῆλθε,
χαῖρε, ἡ τὰς πύλας συντρίψασα τοῦ Ἅδου».

Σὲ τὴν τῶν ἀγγέλων ὑπερτέραν
ἄγγελος μὲν τῇ μητρὶ εὐηγγελίσατο,
ἄγγελος δὲ ἔτρεφε
τῷ ναῷ προσμένουσαν,
ἄγγελος δὲ τὸ μέγιστον
θαῦμα ἐμήνυσε
Θεὸν ἡμῖν ἐκ σοῦ σαρκοφόρον,
ἄγγελος καὶ νῦν σε καλεῖ πρὸς θείαν λῆξιν.

Ἰσχὺν βασιλεῦσιν ἡμῶν δίδου
καὶ κέρας τὸ τοῦ χριστοῦ σου, κόρη, ὕψωσον,

Heirm. η′ EE 100, n. 141, Joannis **164** αἴτησαι D: δώρησαι V, Oi **165** πόλει D, V: ποίμνῃ Oi **187** ἰσχὺν βασιλεῦσιν ἡμῶν D: Ἰσχὺν τοῖς πιστοῖς, παρθένε Je, Ἰσχὺν εὐσεβέσιν ἡμῖν Oi **188** κόρη V, Oi: verbum in D, quod Je verbo λαοῦ substituit, non legitur

180 Tischendorff, Evang., 8 **181-182** Tischendorf, Evang., 15
175 Jno. 4: 10 **183-185** Lu. 1: 28
186 Tischendorf, Apocal., 96 **187-188** I Ki. 2: 10

θραῦσον τὰ φρυάγματα
τῶν ἐχθρῶν, ἀνάστειλον
τὴν τοῦ θανάτου μάστιγα,
ῥῦσαι, δεόμεθα
λιμοῦ τε καὶ σεισμοῦ τὴν σὴν πόλιν
καὶ πυρός, μαχαίρας καὶ μάχης ἐμφυλίου.

Συνήθεια φαύλη τυραννοῦσα
πρὸς πράξεις ἡμᾶς ἀτόπους ἐκβιάζεται·
ὅθεν καὶ τῷ σχήματι
μόνον προσευχόμενοι,
τοὺς λογισμοὺς πλανώμεθα
F. 206 τοῖς φίλοις πάθεσιν·
ἐκ τούτων ἡ ὀργὴ τοῦ Κυρίου
καθ' ἡμῶν ἐπῆλθεν ὡς τέκνων ἀπειθείας.

Ὠδὴ ἑνάτη. Ἅπας γηγενὴς

Μέγα καὶ φρικτόν,
ἁγνή, τὸ μυστήριον τῆς σῆς κυήσεως·
τὸν γὰρ προαιώνιον
πατρὸς ἀνάρχου λόγον ἐν μήτρᾳ σου
σωματικῶς ἐχώρησας, τὸν οὐδαμοῦ χωρητόν,
τὸν τὰ πάντα
φέροντα τῷ ῥήματι
τῆς αὐτοῦ ἀπορρήτου δυνάμεως.

Ἆρα τίς ἡμῶν
ἡμέραν τὴν ἔμφοβον ἐκείνην ὑπομενεῖ
ἢ τίς ὑποστήσεται
ἀπὸ προσώπου Κυρίου κρίνοντος
διὰ πυρός, ὡς γέγραπται, τὰ ἔργα πάντων ἡμῶν;
ἀλλὰ δεῦτε

Heirm. θ′ EE 100, n. 141, Joannis **193** λιμοῦ D, V: λοιμοῦ Oi, πόλιν D: ποίμνην Je, Oi **195-202** troparium om. Oi

208-210 He. 1: 3 **213-214** Ps. 129: 3 **215** Cfr. I Co. 3: 15

www.tezaurliturgic.ro

νῦν μετανοήσωμεν,
τῇ μητρὶ τοῦ Κυρίου προσπίπτοντες.

Ῥεύσασαν ἡμῶν
τὴν φύσιν, πανάμωμε, καὶ ἐκπεσοῦσαν Θεοῦ
πάλιν ἐπανήγαγες
τῇ παραδόξῳ κυοφορίᾳ σου
τὸν γὰρ Θεὸν κατήγαγες, ὦ θαῦμα θαῦμα φρικτόν,
τὴν πτωχείαν
ταύτην ἐνδυσάμενον,
ἵν' ἐγὼ πλουτισθῶ τὴν θεότητα.

Κλῖνον σου τὸ οὖς,
ἁγνή, καὶ ἐπάκουσον ἡμῶν βοώντων σοι·
«χαῖρε, κόσμου δέσποινα,
ὁσίων πάντων χαῖρε τὸ καύχημα,
τῶν ἀθλητῶν κραταίωμα, ἱεραρχῶν καλλονή,
τῶν δικαίων
χαῖρε, τὸ στεφάνωμα,
χαῖρε, πάντων πιστῶν τὸ διάσωσμα».

F. 206[v] *Ὁ μετὰ σαρκὸς*
ἐκ σοῦ προελθὼν ἡμῖν ἄδυτος ἥλιος,
μέσην τῶν διπλῶν αὐτοῦ
καθόδων ταύτην, ἁγνή, διέθετο
τὴν παρουσίαν, ὅτε σου τὴν παναγίαν ψυχὴν
μετ' ἀγγέλων
δόξης ἀνελάβετο
σὺν αὐτῷ βασιλεύειν αἰώνια.

Ὕμνους εὐτελεῖς
ἐκ στόματος, δέσποινα, δέξαι πτωχεύοντος,
ἧν τοσαῦτα στόματα
καὶ λόγων χάριτες ἀνευφήμησαν·
σὺ γὰρ λαμπρὰ ὑπόθεσις τοῖς ἀπ' αἰῶνος σοφοῖς

223 verbum θαῦμα semel refert V **245** τοσαῦτα στόματα D, V: τοσαῦται ἄχραντε Oi **246** καὶ D, V: τῶν Oi

224-226 Cfr. II Co. 8: 9 **227-228** Ps. 44: 10

καὶ δικαίοις·
εἴη σου τὸ ὄνομα
εἰς αἰῶνα αἰῶνος ὑμνούμενον.

*

www.tezaurliturgic.ro

XXIII[e]. *Ἕτερος κανών, οὗ ἡ ἀκροστιχίς*
Ἡ κοσμοχαρμόσυνος ὑμνείσθω κόρη Μάρκου.

F. 206[v] **Ὠδὴ πρώτη. Ἦχος πλάγιος α'. Ἵππον καὶ ἀναβάτην**

Ἤκουσιν ἐν νεφέλαις
οἱ θεῖοι μυσταγωγοὶ
τοῦ τῆς χάριτος λόγου πρὸς τὴν τὸν λόγον τέξασαν·
συνδράμωμεν ἅπαντες
καὶ ἡμεῖς θεάσασθαι
τὰ ἐκεῖσε θείως τελούμενα.

Κλίναντες γόνυ
πάντες ὁμοῦ προσκύνησιν
δουλικὴν τῇ δεσποίνῃ πανευλαβῶς ἀπέδωκαν
καὶ πρῶτος ὁ ἔνθεος
κορυφαῖος ἔλεξε
προπεμπτήριον λόγον ἔνθεον.

Οἵους ἄρα τοὺς λόγους,
ἡ τῆς σοφίας πηγή,
F. 207 οἵους δὲ οἱ θεόπται φίλοι Χριστοῦ πεποίηνται,
ὧν σκιαὶ τοῦ σώματος
καὶ χρωτὸς σουδάρια
πᾶσαν νόσον ὀξέως ἤλαυνον.

Σέ, τὴν τῷ θείῳ λόγῳ
ψυχὰς ἐκτρέφουσαν,
ὡς μητέρα τοῦ λόγου οἱ λόγῳ ὁδηγούμενοι
τοῖς λόγοις γεραίρομεν
καὶ τοὺς ὕμνους πλέκομεν,
λογικῶν ἀνθέων ἐκλέγοντες.

Heirm. α' EE 131, n. 182, Joannis **18** ὀξέως ἤλαυνον manu Me in D **21** οἱ D, Oi: ὡς V **23** τοὺς om. V, Oi

1-2 Tischendorf, Apocal., 99 **7-8** Tischendorf, Apocal., 100
10-12 Tishendorf, Apocal. 100 **16-17** Ac. 19: 12

Ὠδὴ τρίτη. *Ὁ πήξας ἐπ' οὐδενός*

Μεγάλυνον ἐφ' ἡμᾶς,
ἁγνή, τὰ ἐλέη σου
καὶ τὴν συντριβὴν τοῦ λαοῦ σου ἴασαι,
στῆσον τοῦ θανάτου τὴν τομήν,
ἐλάφρυνον τὰς νόσους,
τοὺς πυρετοὺς ἐπιδροσίζουσα
καὶ τὴν ἀθυμίαν πραΰνουσα.

Ὅποτε ἐπιφανεὶς
ὁ θεῖος ἀρχάγγελος
τὸ τῆς μεταστάσεως εὐαγγέλιον
χαίρων σοι προσήγγειλεν, ἁγνή,
χαρᾶς σου τὴν καρδίαν
πλήρης ὀφθεῖσα, ἐμεγάλυνες
τὸν σοὶ μεγαλεῖα ποιήσαντα.

Χαρᾶς μὲν ἡ τοῦ Θεοῦ
πρὸς σὲ ἐπιφοίτησις
τοῖς πιστοῖς ὑπόθεσις ἐχρημάτισε,
χαρᾶς δὲ ἡ σὴ πρὸς τὸν Θεὸν
ἀνάβασις, παρθένε·
καὶ γὰρ ἀμφοῖν προκαθηγήσατο
θεϊκῆς χαρᾶς εὐαγγέλια.

Ἀνύστακτον τοῦ νοὸς
τὸ ὄμμα προφέροντες,
οἱ σεπτοὶ προφῆται προεθεώρουν σε
στάμνον, ῥάβδον, πλάκα, κιβωτόν,

Heirm. γ' EE 131, n. 182, Joannis **42** τὸν post πρὸς et supra lineam add. Me in D **44** ex καθηγήσατο corr. προκαθηγήσατο Me in D **47** προφέροντες D: κτισάμενοι V, κτησάμενοι Oi

25-26 Cfr. Ps. 56: 10 **27** Cfr. Na. 3: 19 **32-35** Tischendorf, Apocal., 96 **37-38** Lu. 1:49 **39-41** Lu. 1: 28
42-45 Tischendorf, Apocal., 96 **49** στάμνον Ex. 16: 33 ῥάβδος Nu. 17: 20 πλάξ Ex. 31: 18 κιβωτός Ex. 38: 1-8

www.tezaurliturgic.ro

τράπεζαν καὶ λυχνίαν,
ναόν καὶ πύλην ἀδιόδευτον
καὶ θυμιατήριον χρύσεον.

Ὠδὴ τετάρτη. Τὴν θείαν ἐννοήσας σου κένωσιν

F. 207v Ῥεούσης ἡδονῆς ἀντεχόμενοι,
πυρὸς δεόμεθα πικροῦ
πρὸ γοῦν ἐκείνου τοῦ μέλλοντος
ὁ πυρετὸς ὁ ἐνταῦθα
τὴν ὕλην τῆς κακίας μετέρχεται.

Μεγάλα σου, παρθένε, τὰ θαύματα·
γῆ γὰρ τυχοῦσα διὰ σοῦ
τῆς εὐλογίας ἀγάλλεται
καὶ τὰ φυτὰ ἐπικλίνει,
τῇ σῇ πρὸς οὐρανὸν ὁδῷ χαίρουσα.

Ὁ πόκος, ὃν προεῖδεν ἐν πνεύματι
ὁ Γεδεών, σὺ εἶ, σεμνή,
τοὺς ἐκτακέντας τῷ καύσωνι
τῶν νοσημάτων ἀλύπως
ἐνδρόσοις ἐπαφαῖς ἀναψύχουσα.

Σεισμοῦ τε καὶ πυρὸς καὶ ποντώσεως
καὶ ἐθνικῆς ἐπιδρομῆς,
αὐχμοῦ λιμοῦ τε καὶ στάσεως
καὶ τῆς πληγῆς τοῦ θανάτου
τὴν πόλιν σου, παρθένε, διάσωσον.

Heirm. δ′ EE 131, n. 182, Joannis ᾠδὴ δ′ alia manus add. in marg. superiore cod. D. Ibidem initium heirm. add. Me **60** ἀγάλλεται D, Oi: ἀγγέλλεται V **62** τῇ σῇ D, Oi: τῇ γῇ V χαίρουσα D, V: χαίροντα Oi **72** πόλιν D, V: ποίμνην Oi

50 τράπεζα Ex. 38: 9-12 λυχνία Ex. 38:13-17 **51** ναὸς III Ki. 6: 1 sqq. πύλη Ez. 44: 1-3 **52** Ex. 38: 23-25 **63-64** Jd. 6: 37

Ὠδὴ πέμπτη. Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον

Ὕμνοις εὐφημοῦμεν σε καὶ μεγαλύνομεν
ψυχῇ καὶ γλώσσῃ,
καρδίας πόθῳ
καὶ κινήσει στόματος,
ἀχράντε παρθένε,
τῶν γηγενῶν τὸ καύχημα.

Νύμφη Θεοῦ πάντιμε, ἡλίου ὄχημα,
φωτὸς δοχεῖον,
εὐῶδες ἄνθος,
φυτὸν εὐθαλέστατον,
κλέος τῶν ἀνθρώπων,
τοὺς δούλους σου περίσωζε.

Ὁ φῶς ὡς ἱμάτιον ἀναβαλλόμενος,
φωτὶ ἁπλέτῳ
περιαστράπτων
ἐν δόξῃ κατέρχεται,
σοῦ τὴν φωτοδόχον
ψυχὴν ἀναληψόμενος.

F. 208 Σέ, τὴν τὸν ἀχώρητον Θεὸν χωρήσασαν,
ἐκδυσωποῦμεν
ἐστενωμένοι τοῖς ποικίλοις πάθεσι,
πλάτυνον ἐν θλίψει
καρδίας τὰς τῶν δούλων σου.

Ὠδὴ ἕκτη. Ἐκύκλωσε με ἄβυσσος

Ὑλώδους διαθέσεως
καὶ πάσης

Heirm. ε′ EE 131, n. 182, Joannis
Heirm. ς′ EE 132, n. 183, Joannis, eundem heirmum om. D
85 ἀναβαλλόμενος D: περιβαλλόμενος V, Oi

85 Ps. 103: 2 **94-95** Cfr. De. 11: 16

www.tezaurliturgic.ro

γηΐνης προσνεύσεως
ἀμέθεκτος μείνασα,
παρθένε ἀμόλυντε,
ζωὴν πρὸς ἄϋλον μεταβαίνεις χαίρουσα.

Μακάριος ὁ ἄνθρωπος,
ὃς εὗρε
σοφίαν καὶ φρόνησιν,
σὺ δέ, παμμακάριστε,
σοφίαν ἐνούσιον
καὶ λόγον θεῖον ἐν τῇ γαστρὶ συνέλαβες.

Νομίμων δίχα φύσεως
ὁ κτίστης
τῆς φύσεως ἄνθρωπος
ἐκ σοῦ ἐχρήματισεν,
ἐν δύο ταῖς φύσεσιν
ἀναλλοιώτως φανεὶς εἰς σωτηρίαν ἡμῶν.

Ἐκύκλωσε τὴν πόλιν σου,
παρθένε,
ἡ θραῦσις ἡ ἔνδικος,
ὁ τέμνων δὲ ἄγγελος
τὴν χεῖρα ἐξέτεινεν
ἀνηλεῶς· προφθασάτω σου τὸ ἔλεος.

Ὠδὴ ἑβδόμη. *Ὁ ὑπερυψούμενος*

Ἱερὰν πανήγυριν
ἐφ' ἑκάστης ἄγομεν,
τὴν θείαν σου κοίμησιν
πιστῶς ἑορτάζοντες
τὸν μῆνα τοῦτον ὅλον,
ὑπερένδοξε παρθένε.

Heirm. ζ′ EE 131, n. 182, Joannis
102 ὁ om. Oi **107** post γαστρί add. σου V **114** πόλιν D, V: ποίμνην Oi

102-104 Si. 25: 9 **106** I Co. 1: 24 **119** Ps. 58: 10

Σὲ πρέσβιν εὐπρόσδεκτον
ἀνιοῦσαν, ἄχραντε,
τῷ κτίστῃ προβάλλομεν,
ἡμῶν τὰ αἰτήματα
μετὰ εὐχαριστίας
διὰ σοῦ δηλοποιοῦντες.

Θιασῶται ἔνδοξοι
οὐρανίου τάξεως
ἀμφέπουσι, δέσποινα,
F. 208v τὴν θείαν σου ἄνοδον,
προπέμποντες ἐν ὕμνοις
τὴν ἀμώμητον ψυχήν σου.

Ὦ πανυπερθαύμαστε
Θεοτόκε, φύλαττε
τοὺς πίστει τιμῶντάς σε
καὶ πόθῳ προστρέχοντας
τῇ θείᾳ σου εἰκόνι
χαλεπῶν ἀρρωστημάτων.

Ὠδὴ ὀγδόη. *Σοὶ τῷ παντουργῷ ἐν τῇ καμίνῳ παῖδες*

Κλῖμαξ νοητή, δι' ἧς Θεὸς κατέβη,
μετάγουσα γέφυρα πρὸς οὐρανὸν ἀπὸ γῆς,
θαῦμα ἀγγέλων,
δαιμόνων τραῦμα μέγα,
χαῖρε Θεοτόκε,
πιστῶν ἐλπὶς βεβαία.

Ὁ μετὰ σαρκὸς οὐρανοδρόμος Παῦλος
τὸ σκεῦος τῆς χάριτος τῇ Θεοτόκῳ φησί·
«χαῖρε, τοῦ λόγου
ὑπόθεσις μοι θεία·

Heirm. η′ EE 131, n. 182, Joannis

132-135 Tischendorf, Apocal., 107 **144** Ge. 28: 12 **151** Ac. 9: 15

www.tezaurliturgic.ro

γηΐνης προσνεύσεως
ἀμέθεκτος μείνασα,
παρθένε ἀμόλυντε,
ζωὴν πρὸς ἄϋλον μεταβαίνεις χαίρουσα.

Μακάριος ὁ ἄνθρωπος,
ὃς εὗρε
σοφίαν καὶ φρόνησιν,
σὺ δέ, παμμακάριστε,
σοφίαν ἐνούσιον
καὶ λόγον θεῖον ἐν τῇ γαστρὶ συνέλαβες.

Νομίμων δίχα φύσεως
ὁ κτίστης
τῆς φύσεως ἄνθρωπος
ἐκ σοῦ ἐχρήματισεν,
ἐν δύο ταῖς φύσεσιν
ἀναλλοιώτως φανεὶς εἰς σωτηρίαν ἡμῶν.

Ἐκύκλωσε τὴν πόλιν σου,
παρθένε,
ἡ θραῦσις ἡ ἔνδικος,
ὁ τέμνων δὲ ἄγγελος
τὴν χεῖρα ἐξέτεινεν
ἀνηλεῶς· προφθασάτω σου τὸ ἔλεος.

Ὠδὴ ἑβδόμη. Ὁ ὑπερυψούμενος

Ἱερὰν πανήγυριν
ἐφ' ἑκάστης ἄγομεν,
τὴν θείαν σου κοίμησιν
πιστῶς ἑορτάζοντες
τὸν μῆνα τοῦτον ὅλον,
ὑπερένδοξε παρθένε.

Heirm. ζ′ EE 131, n. 182, Joannis
102 ὁ om. Oi **107** post γαστρί add. σου V **114** πόλιν D, V: πολίμνην Oi

102-104 Si. 25: 9 **106** I Co. 1: 24 **119** Ps. 58: 10

Σὲ πρέσβιν εὐπρόσδεκτον
ἀνιοῦσαν, ἄχραντε,
τῷ κτίστῃ προβάλλομεν,
ἡμῶν τὰ αἰτήματα
μετὰ εὐχαριστίας
διὰ σοῦ δηλοποιοῦντες.

Θιασῶται ἔνδοξοι
οὐρανίου τάξεως
ἀμφέπουσι, δέσποινα,
F. 208v τὴν θείαν σου ἄνοδον,
προπέμποντες ἐν ὕμνοις
τὴν ἀμώμητον ψυχήν σου.

Ὦ πανυπερθαύμαστε
Θεοτόκε, φύλαττε
τοὺς πίστει τιμῶντάς σε
καὶ πόθῳ προστρέχοντας
τῇ θείᾳ σου εἰκόνι
χαλεπῶν ἀρρωστημάτων.

Ὠδὴ ὀγδόη. Σοὶ τῷ παντουργῷ ἐν τῇ καμίνῳ παῖδες

Κλῖμαξ νοητή, δι' ἧς Θεὸς κατέβη,
μετάγουσα γέφυρα πρὸς οὐρανὸν ἀπὸ γῆς,
θαῦμα ἀγγέλων,
δαιμόνων τραῦμα μέγα,
χαῖρε Θεοτόκε,
πιστῶν ἐλπὶς βεβαία.

Ὁ μετὰ σαρκὸς οὐρανοδρόμος Παῦλος
τὸ σκεῦος τῆς χάριτος τῇ Θεοτόκῳ φησί·
«χαῖρε, τοῦ λόγου
ὑπόθεσις μοι θεία·

Heirm. η′ EE 131, n. 182, Joannis

132-135 Tischendorf, Apocal., 107 **144** Ge. 28: 12 **151** Ac. 9: 15

www.tezaurliturgic.ro

σὲ γὰρ πόθῳ βλέπων
Χριστὸν ἐδόκουν βλέπειν».

Ῥέουσιν ἐκ σοῦ πηγαὶ τοῦ σωτηρίου,
ἀφέσεως νάματα, ζωῆς ὀμβρήματα·
σὺ γὰρ τὴν πέτραν
Χριστὸν ἐν τῇ κοιλίᾳ
φέρεις, ἐξ οὗ ὕδωρ
γλυκὺ ὡς μέλι ῥέει.

Ἡ περικαλλὴς καὶ θεαυγὴς παρθένος
καλῶν ταῖς ἰδέαις με κάλλυνον, δέομαι,
ἵνα δοξάζω
τὴν σὴν ἀγαθωσύνην
καὶ ὑπερυψῶ σου τὴν θείαν εὐσπλαγχνίαν.

Ὠδὴ ἐνάτη. Ἠσαΐα χόρευε· ἡ παρθένος

Μακαρίας λήξεως ἐπιβαίνεις,
ἄχραντε ἁγνή,
ἡ Θεὸν μακάριον καὶ δυνατὸν
μόνον ἀναδείξασα ἐπὶ τῆς γῆς
ἐν τῇ σῇ γαστρὶ
σάρκα γενόμενον,
ἵνα σώσῃ τὸ ἀνθρώπινον.

F. 209 *Ἄρουρα βλαστάνουσα εὐφορίαν*
θείων ἱλασμῶν
καὶ τρέφουσα τοὺς πιστοὺς ἄφθονον τροφήν,
τράπεζα βαστάζουσα τῶν οἰκτιρμῶν
ἄρτον ζωηρόν,
χαῖρε, πανύμνητε,
χαῖρε, κόσμου καταφύγιον.

Heirm. θ′ EE 131, n. 182, Joannis
169 ἡ om. V, Oi **179** χαῖρε manu Me in D

158-161 Nu. 20: 8; De. 32: 13 **158-159** I Co. 10: 14 **181** Lu. 1: 28

Ῥήμασιν ἑπόμενοι τοῦ ἀγγέλου,
«χαῖρε σοι, σεμνή»,
προσᾴδομεν οἱ πιστοί· «χαῖρε, τὸ στερρὸν
τῆς πίστεως ἔρεισμα, χαῖρε, λαμπρὸν
χάριτος Θεοῦ
γνώρισμα, δέσποινα,
δι' ἧς δόξαν ἐνεδύθημεν».

Κράτος ἀπροσμάχητον τῇ σῇ πόλει,
δέσποινα, γενοῦ
καὶ φύλαττε τοὺς πιστοὺς ἡμῶν βασιλεῖς,
σοφίᾳ καὶ χάριτι καὶ ἀρετῇ
λάμποντας πολλῇ,
καὶ τὴν ἀκρίβειαν
τοῦ δικαίου διασῴζοντας.

Ὁ μόνος φιλάνθρωπος καὶ οἰκτίρμων,
δέσποτα Χριστέ,
τὰ ἔργα σου τῶν χειρῶν σῶσον δωρεάν·
οὐδὲν γὰρ ἐπάξιον τῶν οἰκτιρμῶν
ἔχομεν τῶν σῶν·
ῥῦσαι δεόμεθα
τὴν σὴν πόλιν τῆς δικαίας πληγῆς.

Ὕψιστον κυήσασα Θεὸν λόγον
καὶ δημιουργόν,
ἀπὸ κοπρίας παθῶν ὕψωσον ἡμᾶς
ἀρετῶν ἀκρώρειαν πρὸς ὑψηλήν,
τὰ ἐν οὐρανοῖς
μόνα διδάσκουσα
καὶ φρονεῖν καὶ πραγματεύεσθαι.

*

188 πόλει D, V: πολίμνῃ Oi **190** ἡμῶν βασιλεῖς D: δούλους σου ἡμᾶς Je, ἡμῶν εὐσεβεῖς V, ἡμᾶς ἐκ τῶν δυσμενῶν Oi **201** πόλιν D: πολίμνην Je in D, Oi πληγῆς D: ὀργῆς V **202-208** hoc troparium deest in Oi

204 Ps. 112: 7

www.tezaurliturgic.ro

XXIII[r]. Ἕτερος κανών, οὗ ἡ ἀκροστιχίς·
Τὴν τοῦ γένους σώτειραν εὐρύθμως ᾄδω, Μάρκος.

F. 209[v]

Ὠδὴ πρώτη. Ἦχος πλάγιος β'. Κύματι θαλάσσης

Τὰ τῆς οἰκουμένης
συντρέχουσιν ἄκρα
πρὸς μίαν σύμπνοιαν καὶ διὰ σοῦ τὸν Θεὸν
ἐπεγνωκότα, παρθένε,
ὁμοφώνως μακαρίζουσι
καὶ πιστῶς ὑμνοῦσι σε,
καθάπερ προεφήτευσας.

Ἡ ἐκλελεγμένη
Θεῷ πρὸ αἰώνων
ἐκ πάσης φύσεως, ἐν γυναιξὶν ἀληθῶς
εὐλογημένη παρθένος
εὐλογεῖ τὸν κόσμον ἅπαντα,
πρὸς τὴν ὑπερκόσμιον
κατάστασιν ἀπαίρουσα.

Νέα κολυμβήθρα
πεντάστῳος ἄλλη
τὸ θεῖον τέμενος τοῦτο σου, δέσποινα,
προβατικῆς ὑπερφέρον·
οὐ γὰρ ἕνα που καὶ δεύτερον
ἀλλ' ἀπείρους ῥύεται
παντοίων νοσημάτων δεινῶν.

Τόμον σε προεῖδεν
ὁ θεῖος προφήτης
δακτύλῳ, ἄχραντε, ἐγγεγραμμένον Θεοῦ
τὸν γὰρ ἀόρατον λόγον
ἐν γαστρί σου σωματώσασα,
ὁρατὸν προήνεγκας
ὡς ἄνθρωπον τῷ σχήματι.

Ὄρει τῷ Σιναίῳ
ἐτύπου σε βάτος
ἀφλέκτως, δέσποινα, σπαργανουμένη πυρί·
τὴν γὰρ πρηστήριον φύσιν
τῆς θεότητος ἐβαστάσασας
μείνασα ἀλώβητος·
ὦ θαῦμα ἀνερμήνευτον.

F. 210

Ὠδὴ τρίτη. Σὲ τὸν ἐπὶ ὑδάτων

Ὕλης ὑπεραρθῆναι
καὶ σχέσεως βιωτικῆς ἁπάσης
εὐδόκησον, παρθένε,
τοὺς τῷ ναῷ σου προσμένοντας,
ἵνα θυσίαν ἄϋλον
τὴν τῆς αἰνέσεως
σοὶ προσφέρομεν ἀΰλῳ νοΐ.

Γένοιντο οἱ μισοῦντες
τὴν πόλιν σου Σιὼν τὴν νέαν ταύτην
ὡς χόρτος ἐκ δωμάτων
ὁ πρὸ καιροῦ ξηραινόμενος,
αὐτὴ δὲ ἀνηβήσειε,
καρποὺς ἐκφέρουσα
γεωργῷ τῷ τῶν ψυχῶν εὐθαλεῖς.

«Ἔκχεον τὴν ῥομφαίαν
τὴν τρώσασαν πλευρὰν τὴν τοῦ υἱοῦ σου·

Tit. Μάρκος in acrostichide om. V
Heirm. α' EE 165, n. 232, Cassiae
17 τοῦτο σου D: τοῦ τόκου σου V, τοῦ τοκετοῦ σου, ἁγνή Oi

5-7 Lu. 1: 48 **10-11** Lu. 1-28 **15-18** Jno. 5: 2-3
21-24 De. 9: 10

Heirm. γ' EE 164, n. 231, Cassiae **40** καὶ post ἵνα add. Oi
44 πόλι D: ποίμνην Je in D, Oi Σιὼν ταύτην D: ἁγνὴ θεογεννῆτορ Je in marg. D, Oi

29-31 Ex. 3: 2-4 **40-41** Le. 7: 12 **45** Ps. 128: 6
50-51 Lu. 2: 35 Jno. 19: 34

www.tezaurliturgic.ro

καὶ σύγκλεισον ἀθρόον
ἐξ ἐναντίας, πανύμνητε,
τῶν καταδιωκόντων με»,
κράζει ἡ πόλις σου,
ἣν πολλάκις διεφύλαξας.

Νείμασα τὰς ἐσθῆτας,
πανάμωμε, γυναιξὶ ταῖς γνωρίμοις,
ἐν αἷς τὸ θεοτρόφον
ἐρρύη γάλα καὶ πάντιμον,
σκέπην ἡμῖν ἀνέπαφον
καὶ τῇ τῶν πόλεων
βασιλίδι ταύτῃ δέδωκας.

Ὠδὴ τετάρτη. Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν

Ὁ ἐκλεκτὸς καὶ περιούσιος
λαός, ὃν ὁ Χριστὸς ἐν αἵματι τιμίῳ
τῆς πλάνης ἐξηγόρασε,
σοὶ μετὰ Θεὸν
τὰς ἐλπίδας, παρθένε, προσανατίθησιν.

Ὑπὸ ἀπείρου ἀγαθότητος
F. 210v εἰς τὰ ἴδια ἦλθεν ὡς ξένος ὁ δεσπότης,
ὅν, ἄχραντε, ἐξένισας,
ἀξιοπρεπὲς
σεαυτὴν ἑτοιμάσασα καταγώγιον.

«Στενά μοι πάντοθεν», ἐβόησεν
ὁ Δαβὶδ ἁμαρτών,

Heirm. δ′ EE 164, n. 231, Cassiae
55 πόλις D,V: ποίμνη Oi **62-63** καὶ -δέδωκας D: καὶ πάσαις πόλεσι/ χριστωνύμοις βασιλίδα ταύτην δέδωκας Je in D, V **65** ante αἵματι et supra lineam ἐν Me in D add., verbum iam additum in V et Oi **73** ἑτοιμάσασα D: ἑτοιμάσας V

53-54 Ps. 34: 3 **64-65** Ex. 19: 5, 23: 22 **66** Ga. 3: 13
70 Jno. 1: 11 **74-77** I Ch. 21: 13

«εἰς χεῖρας τοῦ Κυρίου
πλὴν ἐμπεσεῖν με βέλτιον»·
ὅθεν καὶ ἡμεῖς
ἀσυγχώρητα πταίοντες ἀποθνήσκομεν.

Συγκινηθεὶς πικρῶς ἀνέκλαυσεν
ὁ προφήτης, ἰδὼν τὸν ἄγγελον Κυρίου
φρικτῇ ῥομφαίᾳ τέμνοντα·
κλαύσωμεν καὶ νῦν,
ἀδελφοί, καὶ ἡ θραῦσις ἴσως κοπάσειεν.

Ὠδὴ πέμπτη. Θεοφανείας σου, Χριστέ,

Ὡς ἐπὶ πόκον ὑετὸς
καὶ ὡς σταγὼν ἐπὶ γῆν καταβᾶσα
ἡ σοφία τοῦ Θεοῦ ἐσκήνωσεν
ἐν τῇ παναχράντῳ νηδύϊ σου
καὶ τὸν οἶκον τὸν ἑαυτῆς ἐπῳκοδόμησεν
ὥσπερ ἑπτὰ στύλοις
ταῖς χάρισι τοῦ σεπτοῦ καὶ θείου πνεύματος.

Τὴν παναγίαν κιβωτόν,
τὴν ἱερὰν καὶ θεόβλαστον ῥάβδον,
τὴν χρυσῆν λυχνίαν τὴν ὁλόφωτον,
τὴν τοῦ μάννα στάμνον τὴν πάγχρυσον,
τὸν περίδοξον τοῦ Θεοῦ ναὸν τὸν ἔμψυχον,
τὴν εὐλογημένην
ἐν πάσαις ταῖς γυναιξὶ κόρην ὑμνήσωμεν.

«Εὐλογημένη ὄντως σὺ
F. 211 καὶ ὁ καρπὸς τῆς κοιλίας σου», ἔφη
ἐν γαστρὶ φερόμενος ὁ Πρόδρομος,

Heirm. ε′ EE 164, n. 231, Cassiae
86 γῆν D, V: γῆς Oi **89** τὸν om. V, Oi

80-82 Ez. 21: 6-9 **84** Nu. 16: 48 **85-86** Ps. 71: 6 **87** Pr. 8: 12
89-90 Pr. 9: 1 **92** Ex. 38: 1-8 **93** Nu. 17: 20 **94** Ex. 38:13-17
95 Ex. 16: 33
96 III Ki. 6: 3- 36 **97-98** Lu. 1: 42

www.tezaurliturgic.ro

τῇ μητρῴᾳ γλώττῃ χρησάμενος
«καὶ πόθεν μοι τοῦτο ἡ μήτηρ τοῦ Κυρίου μου,
ἵνα ἔλθῃ πρός με;»,
προφήτης καὶ πρὸ γενέσεως δεικνύμενος.

Ἱερωτάταις σε φωναῖς
τῶν προφητῶν ὁ πανίερος δῆμος
ὄρος ἀλατόμητον ἐκάλεσεν,
ὄρος πῖον, ὄρος κατάσκιον,
θείαν κλίμακα, μυστικὴν λαβίδα, τράπεζαν,
θεοδόχον κλίνην,
παλάτιον ὑψηλὸν καὶ πόλιν ἔμψυχον.

Ῥαθυμοτόκους λογισμοὺς
καὶ ἐπιγείους φροντίδας ἁπάσας
ἐκ τῆς διανοίας ἀπορρίψαντες,
ἐκτενῶς Κυρίῳ προσπέσωμεν
καὶ ἐνώπιον τοῦ Θεοῦ πικρῶς δακρύσωμεν·
ἡ γὰρ Θεοτόκος
μεσίτις ὑπὲρ ἡμῶν ἔστηκεν ἄπαυστος.

Ὠδὴ ἕκτη. Συνεσχέθη

Ἀπελύθης
ἀλλ᾽ οὐκ ἐχωρίσθης
κόσμου καὶ ἀνθρώπων, ἁγνή·
εἰ γὰρ καὶ λέλυταί σου
ἡ ἀκήρατος ψυχὴ τοῦ σκήνους,
ἀλλὰ δυνάμει κραταιᾷ τὰ πέρατα
περιέπεις καὶ τῇ σῇ εἰκόνι,
ἣν ἐχαρίτωσας, θαύματα ἐκτελεῖς
ἄπειρα καὶ νόσους θεραπεύεις ψυχῶν.

Heirm. ς′ EE 164, n. 231, Cosmae transposuit Oi **103** ἵνα post τοῦτο in v. 102 ἔλθῃ D, V: ἔλθῃς Oi **116** post ἐκτενῶς add. τῷ V **119** ἄπαυστος D, V: ἀπαύστως Oi, quod post ἡμῶν transposuit

99-105 Lu. 1: 42-43 **108** Da. 2: 34 **109** πῖων Ps. 67: 15 κατάσκιον Hb. 3: 3 **110** κλίμαξ Ge. 28: 12 λαβίς Ex. 38: 17, Is. 6: 6 τράπεζα Ex. 38: 9-12 **111** Ca. 3: 7 **112** παλάτιον III Ki. 7: 38-49 πόλις Ps. 86: 3

Νεκρουμένους
ἀλλ᾽ οὐ κατὰ φύσιν
οἰκτειρον, δέσποινα, ἡμᾶς·
F. 211v εἰ γὰρ καὶ ἀσιδήρως
ἀποθνήσκομεν, ἀλλ᾽ ἡ δικαία
τοῦ Θεοῦ ῥάβδος προφανής, συντρίβουσα
σκεύη ἄχρηστα κατηρτισμένα
εἰς τὴν ἀπώλειαν· στῆθι ὑπὲρ ἡμῶν,
ἵλασαι τὸν φύσει ἐλεήμονα.

Εὐλογοῦντες
ἀλλ᾽ οὐκ ἐπαλγοῦντες
προεορτάζομεν, ἁγνή·
εἰ γὰρ καὶ τῇ νηστείᾳ
δαμαζόμενον ἀλγεῖ τὸ σῶμα,
ἀλλὰ τὸ πνεῦμα γέγηθε, τὴν νέκρωσιν
τοῦ Κυρίου περιφέρον, ἵνα
καὶ ἡ ζωὴ αὐτοῦ ἐν ἡμῖν ἐκφανῇ
διὰ σοῦ τῆς ζώσης ἀκηράτου πηγῆς.

Ὑμνῳδοῦντας
ἀλλ᾽ οὐ κωμῳδοῦντας
ἡμᾶς προσίεται Θεός·
εἰ γὰρ καὶ ὑπὲρ λόγου
λόγον δώσομεν ἀργοῦ τῷ λόγῳ,
πολλῷ γε μᾶλλον οὕτω γελοιάζοντες
καὶ τὰ αἴσχιστα σαπρολογοῦντες,
οὐκ ἐκφευξόμεθα τῆς γεέννης τὸ πῦρ·
ἀλλὰ νῦν θερμῶς μετανοήσωμεν.

Ὠδὴ ἑβδόμη. Ἄφραστον θαῦμα

Ῥῦσαι γεέννης
πυρὸς τοὺς δούλους σου, δέσποινα,

Heirm. ζ′ EE 164, n. 231, Cosmae
137 καὶ ante ἵλασαι add. V **145** ἐκφανῇ D: ἀναφανῇ V, Oi

135 Ho. 8: 8 **143-145** II Co. 4: 10-11
150-151 Mat. 12: 36 **154, 156-157** Mat. 5: 22

www.tezaurliturgic.ro

καὶ τὴν φλόγα ταύτην τοῦ λοιμοῦ,
τραφεῖσαν πολλοῖς
ἡμῶν ἁμαρτήμασι,
τῇ θείᾳ δρόσῳ τῆς σῆς πρεσβείας σβέσον·
σοὶ γὰρ μόνῃ προσφεύγομεν ἐν πίστει.

F. 212 Ὕπαρ, οὐκ ὄναρ
ἐπιφανεὶς θεῖος ἄγγελος,
ἀειζώου φοίνικος βλαστόν,
δέσποινα ἁγνή,
εὐθαλῆ σοι δίδωσι,
τὴν ἐσομένην σοι δόξαν προμηνύων
καὶ ζωὴν τὴν ἀθάνατον προλέγων.

Θεὸν τεκοῦσα
τὸν τοῦ παντὸς κυριεύοντα,
φερωνύμως ἔσχηκας, ἁγνή,
κυρείαν σαφῆ
κατὰ πάσης κτίσεως
καὶ ὅσα θέλεις ἀνύεις ὑπὲρ φύσιν,
κυριώνυμε ἄχραντε Μαρία.

Μεταβαλοῦσα
τῶν θλιβερῶν τὴν κατήφειαν
εἰς αἰθρίαν θείας ἡδονῆς
προσώπῳ φαιδρῷ
καὶ καρδίᾳ, δώρησαι
διατελέσαι τὴν θείαν ἑορτήν σου
τοὺς σοὺς δούλους, ὑπέραγνε Μαρία.

Ὠδὴ ὀγδόη. Ἑκστηθι φρίττων, οὐρανέ

Ὦ θείας χάριτος, δι' ἧς
ἡ μόνη πάναγνος τὴν εἰκόνα ἑαυτῆς
ταμεῖον

Heirm. η' EE 164, n. 231, Cosmae **174** τῆς post πάσης add. Oi

163-169 Tischendorf, Apocal., 114-115 **171** Da. 2:38

θαυμάτων ἀνέδειξε
καὶ ἰαμάτων πηγήν,
ἐξ οἴκου Κυρίου προϊοῦσαν
καὶ ποτίζουσαν θείως
οὐ χειμάρρουν τῶν σχοίνων,
ἀλλὰ καρποφόρους ψυχὰς εἰς τοὺς αἰῶνας.

Σέ, τὴν ἀθάνατον πηγὴν
τοῦ ζῶντος ὕδατος
ἐνεργοῦσαν θαυμαστῶς
ἐν θείῳ
ὕδατι, δοξάζομεν,
ἐν ᾧ τυφλοί, θεϊκῇ
δυνάμει πιστῶς ὁδηγηθέντες,
φῶς εἶδον παραδόξως,
τὴν φωτίζουσαν χάριν
τοὺς ἐσκοτισμένους ὑμνοῦντες σου, παρθένε.

F. 212v Ἄρασα χεῖρας ἱερᾶς,
ἐν αἷς ἐβάστασας τὸν ἀχώρητον Θεόν,
πρεσβείαν
πρὸς αὐτὸν ἀπέργασαι
ὑπὲρ λαοῦ τοῦ πολλοῖς
κακοῖς τὴν αὐτοῦ μακροθυμίαν
εἰς θυμὸν ἐκβαλόντος
καὶ δεινῶς τεμνομένου
τῇ ἀπαραιτήτῳ ῥομφαίᾳ τοῦ θανάτου.

Δεῖξον καὶ νῦν τοῖς σοῖς ἐχθροῖς,
ὅτι ἠρέτισας τὴν σὴν πόλιν, ἀγαθή,
καὶ ταύτην
κατοικεῖν εὐδόκησας,
ἣν ἐξαρχῆς ὁ πολὺς
καὶ πρῶτος πιστοῖς ἐν βασιλεῦσι

213 ἠρέτισας: ἠλέησας Je in D (supra lineam) **215** versum παντελῶς οὐκ ἔλιπες Je in marg. D

188-191 Jl. 4: 18 **193-194** Cfr. Jno. 4: 14

www.tezaurliturgic.ro

Κωνσταντῖνος ἐγείρας,
ἐπανέθετο ταύτην
τῇ σῇ προστασίᾳ θαρρῶν εἰς τοὺς αἰῶνας.

Ὦ παμβασίλεια Θεοῦ
μῆτερ ὑπέραγνε, τὴν σὴν θείαν ἀρωγὴν
ἐξ ὕψους
οὐρανίου ἔνδυσον
τὸν βασιλέα ἡμῶν,
στερρότητι ζῶσον ἀληθείας
καὶ πίστεως ἀσπίδι
καὶ τοῦ πνεύματος ξίφει
καὶ δικαιοσύνης τῇ πανοπλίᾳ φράξον.

ΩΔΗ Θ'. ***Μή ἐποδύρου μου, μῆτερ,***

- «Μὴ ἀντιβόλει με, μήτερ,
ὑπὲρ ὧν ἑκουσίως
ἐγὼ παθεῖν ἐξέδωκα ψυχὴν τὴν ἐμαυτοῦ
τὴν γὰρ χάριν ταύτην κακῶς φρονήσαντες
ἀθετοῦσι, τοὺς νόμους πατοῦντες τοὺς ἐμούς·
τῆς δικαίας οὖν κρίσεως πειραθήσονται.»

- «Ἀλλὰ τῆς σῆς εὐσεβείας
καὶ τῶν θείων ἐλπίδων
οὐδὲν αὐτοὺς ἐξέωσεν, υἱέ μου καὶ Θεέ·
F. 213 τοὺς ἐχθροὺς γὰρ ὁρῶντες ἐξυβρίσαντας
καὶ δεινῶς βλασφημοῦντας, αὐτοὶ τῷ σῷ σταυρῷ
καὶ τοῖς θείοις σου πάθεσιν ἐναβρύνονται.»

- «Ῥήμασι μόνοις τὴν πίστιν
καταγγέλλουσι, μῆτερ,
τοῖς ἔργοις δὲ ἀρνοῦνται, ὃ πιστεύουσι σαφῶς·
ἀδικία γὰρ τούτοις τὸ μελέτημα

Heirm. θ' EE 165, n. 231, Cosmae **221** παμβασίλεια D, V: παμβασίλισσα Oi **225** τὸν εὐσεβῆ σου λαόν Je in marg. D **238** ἐξέωσεν D, V: ἐξέωσαν Oi **244** δὲ D, V: γὰρ Oi

223-225 Cfr. Lu. 24:49 **226-229** Eph. 6: 13-16

καὶ ἀσέλγεια ἅπασα καὶ μέθη καὶ κραυγὴ
καὶ οὐκέτι ἀνήσω τὰς ἀνομίας αὐτῶν.»

- «Κατὰ τὸν μέγαν σου πλοῦτον
τοῦ ἐλέους, οἰκτίρμον,
κρῖνον αὐτοῖς δεχόμενος ἐκ σπλάγχνων μητρικῶν
ἱκεσίαν ταύτην, τὸ θεῖον αἷμα σου
καὶ τὰ τίμια πάθη προβάλλουσι πιστῶς
καὶ θαρροῦσιν ἐντεῦθεν συγγνώμης τεύξεσθαι.»

- «Οὐδὲν μητρὸς δεομένης
βιαιότερον ὄντως·
τὴν γοῦν ἐπὶ τοῖς φθάσασι συγγνώμην διὰ σέ,
χαριζόμενος τούτοις, ἂν προσέλθωσι
πρὸς ἐμέ κοπιῶντες ὡς εἶπον ἀψευδῶς,
ἀναπαύσω, δοξάσω καὶ μεγαλύνω αὐτούς.»

Σὲ τὴν δεσπόζουσαν πάντων
ὁρατῶν ποιημάτων
καὶ ἀοράτων, αἴροντες φωνὰς οἰκετικάς,
εὐφημοῦμεν ἀξίως, χαριστήριον
μελῳδοῦντες σοι ᾆσμα· μεσίτις γὰρ ἡμῶν
τῷ υἱῷ σου καὶ πρέσβις ὑπάρχεις ἄπαυστος.

*

250 αὐτοῖς D: αὐτοὺς V, Oi **259** ἀναπαύσω, δοξάσω D, V: κἀγώ γε δοξάσω Oi μεγαλύνω D, Oi: μεγαλυνῶ V

258-259 Mat. 11: 28

www.tezaurliturgic.ro

XXIIIᵍ. *Ἕτερος κανὼν ἑβδομος, οὗ ἡ ἀκροστιχίς·*
Ἔτι προσαυδῶ τοῦ Θεοῦ τὴν μητέρα, ὁ Μάρκος.

F. 213ᵛ

Ὠδὴ πρώτη. Ἦχος βαρύς. Νεύσει σου πρὸς γεώδη

Ἔχουσα τῆς σοφίας
τὸν χορηγὸν πειθαρχοῦντα
ταῖς σαῖς παρακλήσεσιν
υἱοπρεπῶς, χορήγησον
λόγου μοι χάριν ὑμνῆσαι,
πάναγνε, τῶν σῶν θαυμασίων τὴν ἄβυσσον.

Τέμενος τοῦ δεσπότου
καὶ ἱερώτατος οἶκος
καὶ θεῖον ἀνάκτορον
ὑπάρχουσα, πανάχραντε,
πανευκλεῶς δι᾽ ἀγγέλου
πρὸς ἐπουρανίους οἰκήσεις προσκέκλησαι.

Ἵνα ταῖς ἐξουσίαις
καὶ ταῖς ἀρχαῖς ὁ δεσπότης
τὸν πλοῦτον τὸν ἄπειρον
γνωρίσῃ τῆς σοφίας αὐτοῦ,
σὲ ἐπὶ γῆς ὑπερτέραν
τῶν ἐπουρανίων ταγμάτων ἀνέδειξεν.

Πάντων τῶν ἀπ᾽ αἰῶνος
διοδευσάντων τὸν βίον,
τὸ κάλλιστον δώρημα
τῇ φύσει ἐκπληρώσασα
μήτηρ Θεοῦ γενομένη,
πρὸς τὴν ὑπὲρ φύσιν ζωὴν ἐξεδήμησας.

Tit. ὁ in acrostichide omisit V
Heirm. α′ EE 198, n. 280, Joannis

11-12 Tischendorf, Apocal., 96 **13-14** Cfr. Col. 1: 16
15-16 Cfr. Ro. 11: 33

Ὠδὴ τρίτη. Ὁ κατ᾽ ἀρχὰς τοὺς οὐρανούς

Ῥίζης φυεῖσα καὶ φυλῆς
βασιλικῆς θεῖον ἔρνος,
καρπὸν ἤνεγκας ἀείζωον,
τὸν πᾶσαν τὴν κτίσιν διατρέφοντα,
ἐξ οὗ τὸ δένδρον ἀληθῶς
F. 214 ὁποῖον ἔστιν, ὡς ἔφη,
γνώριμον καθίσταται, θεόνυμφε.

Οὐκ ἔστιν ἴασις σαρκὶ
καὶ τοῖς ὀστέοις εἰρήνη
τοῖς ἡμῶν ἐκ τῶν ἁμαρτιῶν
ἡμῶν· πυρετοῖς γὰρ καὶ νοσήμασι
διακαιόμεθα σφοδροῖς·
ὡς ἰατρὸν τετοκυῖα
ψυχῶν καὶ σωμάτων ἡμᾶς ἴασαι.

Σέ, τὴν τὸν βότρυν τῆς ζωῆς
ἀναβλαστήσασαν θεῖως
καρποφόρον ἄμπελον, ἁγνή,
τὰ δένδρα τοῦ ὄρους προσεκύνησεν·
ἡ γὰρ σκιὰ ὄντως ἡ σὴ
πάντα ἐκάλυψεν ὄρη
καὶ τὰς θείας κέδρους ὑπερέβαλεν.

Ἄνευ ὠδίνων τὸν Θεὸν
καὶ ἀπαθῶς τετοκυῖα,
τὰς ὀδύνας τοῦ πολυπαθοῦς
συγκρίματος τούτου τοῦ ῥοώδους ἡμῶν
ἐπισκοπῇ σου σωστικῇ
καὶ νῦν ἐπισκεψαμένη
ἴασαι, παρθένε παμμακάριστε.

Heirm. γ′ EE 198, n. 280, Joannis
26 ἔρανος D, Oi: ἔργον V

25-26 Cfr. Mat. 1: 1-16 **29-31** Mat. 12: 33 **32-33** Ps. 37: 3
39-40 Cfr. Ca. 7: 8 **44-45** Ps. 79: 10

www.tezaurliturgic.ro

Ὠδὴ τετάρτη. Ὁ πατρικοὺς κόλπους μὴ λιπών

Ὑμνολογεῖν λόγοις σε, σεμνή,
καὶ ἐγκωμίοις εὐφημεῖν ἐργῶδες ἐστίν·
ἀλλ᾽ αὐτή, πρὸς τὴν προαίρεσιν
ἡμῶν ἐπιβλέπουσα,
δύναμιν ἀρκοῦσαν χορήγησον.

Διὰ νεφῶν ὕπερθεν τῆς γῆς
ἀναρπαγέντες οἱ σεπτοὶ Χριστοῦ μαθηταί,
πρὸς τὴν ζῶσαν τε καὶ ἔμψυχον
νεφέλην ἀπήντησαν,
δι᾽ ἧς ὁ Θεὸς καταβέβηκεν.

Ὡς οἰκτιρμῶν ἄπλετος πηγὴ
καὶ ἰαμάτων προχοὴ ἀέννaος,
τὰς ῥανίδας τοῦ ἐλέους σου
νοσοῦσιν ἐπίχεε
τοῖς σοῖς δούλοις, κόρη φιλάγαθε.

F. 214v Τὴν ἐκλεκτὴν μόνην ἐκ πασῶν
τῶν γενεῶν Θεῷ πρὸ πάσης κτίσεως,
τὸ τῆς φύσεως καλλώπισμα,
τὸ ἄνθος τὸ τίμιον,
τὴν παρθένον κόρην ὑμνήσωμεν.

Ὠδὴ πέμπτη. Κύριε ὁ Θεός μου,

Ὅλην ἠγλαϊσμένην
ταῖς τῆς παρθενίας φαιδραῖς ἀκτῖσι
καὶ χάρισι λάμπουσαν

Heirm. δ′ EE 198, n. 280, Joannis
Heirm. ε′ EE 198, n. 280, Joannis verbum iam additum in V et Oi **54** εὐφημεῖν add. Me in marg. D, **67** μόνην om. Oi

57-62 Tischendorf, Apocal., 97, 99-102 **61** Ex. 13: 21 **68** Ca. 6: 9

τῆς σεπτῆς γεννήσεως
ὁ ἐκ σοῦ Θεὸς ἀνατείλας
νῦν πρὸς ἑαυτὸν προσλαμβάνεται.

Ὕδατος ἀειρρόου
δίκην ἡ ζωὴ ἡμῶν παρατρέχει,
ὁ θάνατος ἄδηλος,
τὸ ἐξῆς ἀβέβαιον,
διὸ νῦν, ἀδελφοί, πρὸ τέλους
δάκρυσι τὰ δάκρυα φύγωμεν.

Θαῦμα πῶς ὁ ἐγείρας
Ταβηθὰ θανοῦσαν ὁ θεῖος Πέτρος
τὸν θάνατον ἤνεγκεν
ἰδεῖν τῆς θεόπαιδος·
ἀλλὰ τῷ Θεῷ οὕτω δόξαν
ὡς δοῦλος εὐγνώμων οὐκ ἀνθίσταται.

Ἔκχεον τὴν ὀργήν σου
ἐπὶ ἔθνη τὰ μὴ γινώσκοντά σε·
ἡμεῖς δέ, φιλάνθρωπε,
λαός σου καὶ παῖδες σου
καὶ τῆς σῆς μητρὸς τῆς πανάγνου
πρόσπολοι καὶ γνήσιοι θεράποντες.

Ὠδὴ ἕκτη. Ναυτιῶν τῷ σάλῳ

Ὁ οὐρανοδρόμος
ἐν σαρκὶ θεσπέσιος Παῦλος
καὶ νῦν τὴν πανύμνητον
ἀνιοῦσαν
πρὸς οὐρανὸν ἀνυμνῶν οὐκ ἐγίνωσκεν
εἴτε ἐν τῷ σώματι ὑπῆρχεν,
εἴτε ἐκτὸς τούτου σὺν αὐτῇ ἀνέδραμεν.

Heirm. ς′ EE 202, n. 286, Cosmae. Heirm. dissimile tradit V (Ναυτιῶντα σάλῳ), idem heirm. in Oi **85** ὁ om. Oi **102** τῷ om. Oi

85-86 Act. 9: 40-41 **87-90** Cfr. Tischendorf, Apocal. 129-131
91-94 Ps. 78: 6, 13 **102-103** II Co. 12: 2

www.tezaurliturgic.ro

F. 215

Ὕψωσον τὸ κέρας
τῶν πιστῶν ἡμῶν βασιλέων,
τὰ θράση κατάβαλε
τῶν θελόντων
ἐθνῶν πολέμους καὶ μάχας καὶ αἵματα,
τῶν μὴ προσκυνούντων τὴν εἰκόνα
τὴν θεοχαρίτωτόν σου, παμμακάριστε.

Τὴν κεχρυσωμένην
κιβωτὸν καινῆς διαθήκης,
τὴν πλάκα τῆς χάριτος,
τὴν λυχνίαν
τὴν φωτοφόρον, τὴν στάμνον τὴν πάγχρυσον,
τὴν σκηνὴν Κυρίου τὴν ἁγίαν
γῆθεν αἰρομένην εὐσεβῶς τιμήσωμεν.

Ἡ τῶν ἀποστόλων
ἐν τῷ θείῳ πάθει φυγόντων
ὀδύνην ἀφόρητον
ὑποστᾶσα,
νῦν μετὰ δόξης ὁρᾷ συνιόντας αὐτοὺς
ἐπὶ τὴν ἰδίαν ἐκδημίαν,
ἀγαλλιωμένη τῷ ἁγίῳ πνεύματι.

Ὠδὴ ἑβδόμη. Κάμινον παῖδες

Νῦν ἡ τοῦ κόσμου
ἀπαίρει κυρία
πρὸς ὑπερκόσμιον οἴκησιν
καὶ ὁ χορὸς τῶν ἀγγέλων ἀγάλλεται
καὶ πάντα τὰ πνεύματα
τῶν δικαίων χορεύει εὐφραινόμενα.

Heirm. ζ′ EE 198, n. 280, Joannis **105** verbum βασιλέων manus posterior delevit et in marg. cod. D verbo οἰκετῶν substituit. Eadem manus verba ἁγνὴ κόρη quae in marg. superiore Je antea scripsit, delevit **108** ἐθνῶν D: ἐχθρῶν V, Oi

104 Ps. 148: 14 **109-110** Cfr. OM, 588 **112** Ex. 38: 1-8
113 Ex. 31: 18 **114** Ex. 38: 13-17 **115** Ex. 16: 33 **116** Nu. 17: 28

Μόνη εὑρέθης
παρθένος καὶ μήτηρ
κατὰ ταὐτόν, ἀπειρόγαμε,
μόνη Θεὸν ἐξ αἰῶνος ἐγέννησας,
αἰῶνας ὃς ἔκτισε,
πρὸ αἰώνων αὐτὸς ἐκ τοῦ πατρὸς γεννηθείς.

Ἡ τῶν ἀνθρώπων
ἀνόρθωσις μόνη
καὶ τῶν δαιμόνων κατάπτωσις,
δι' ἧς ἡ φύσις ἡμῶν κεκαινούργηται,
χαῖρε, πανευλόγητε,
οὐρανοῦ καὶ τῆς γῆς τὸ ἐγκαλλώπισμα.

F. 215

Τὴν ἁμαρτίαν
ἀφρόνως φιλοῦντες,
ἧς τὰ ὀψώνια θάνατος,
ὑπὸ πανδήμου λοιμοῦ θανατούμεθα·
μῆτερ ἀειπάρθενε,
τῆς δικαίας ὀργῆς ἡμᾶς λύτρωσαι.

Ὠδὴ ὀγδόη. Ἄφλεκτος πυρὶ ἐν Σινᾷ προσομιλοῦσα

Ἐθελξας ἡμᾶς τῷ σῷ πόθῳ, Θεοτόκε,
καὶ εἰς ἀγάπην ἔνθεον
ὅλους ἐνθέως συνεκίνησας·
ἐντεῦθεν περὶ τοὺς σοὺς
ὕμνους θερμοὶ καὶ τολμηροὶ σαφῶς ἐδείχθημεν·
δὸς οὖν συγγνώμην τοῦ λόγου τῇ ἄγαν εὐτελείᾳ,
ἀποδεχομένη ψιλὴν ἡμῶν τὴν γνώμην.

Ῥεύσαντας ἡμᾶς καὶ φθορᾷ ὑποπεσόντας
καὶ εἰς θανάτου βάραθρον

Heirm. η′ EE 202, n. 286, Cosmae

145 Ro. 6: 23

www.tezaurliturgic.ro

ἐλεεινῶς κατολισθήσαντας
ἀνάστασιν καὶ ζωὴν
Χριστὸν τεκοῦσα, πρὸς ζωὴν αὖθις ἀνήγαγες·
ὅθεν καὶ νῦν τοῦ θανάτου
τὴν ῥύμην, ζωοδόχε,
στῆσον, ῥυομένη
τῆς ὀλεθρίου λύμης.

Ἄνωθεν τὴν γῆν νοητὸν φῶς ἐπαυγάζει,
φωτοχυσία κάτωθεν
πυρὸς ἐνύλου τῷ ἀέρι ἠχεῖ,
ἀπόστολοι ἐκ τῆς γῆς,
ἐξ οὐρανῶν αἱ νοεραὶ δυνάμεις ᾄδουσι,
πάντα χαρᾶς, πάντα δόξης ἀφάτου πεπλησμένα
ἐπὶ τῇ κοιμήσει τῆς μόνης Θεοτόκου.

Ὁ πανευκλεὴς συγγραφεὺς τοῦ θείου λόγου
Λουκᾶς ὁ ἱερώτατος
παραδιδοὺς ἔργον ἡμῖν εὐσεβές,
F. 216 τὴν σὴν εἰκόνα γραφαῖς
μορφώσας, ἤνεγκεν ἐνώπιον σου, πάναγνε,
σὺ δὲ προσβλέψασα ταύτην, «ἡ χάρις», ἐπεφθέγξω,
«μετ' αὐτῆς ἡ θεία εἰς πάντας τοὺς αἰῶνας».

Ὠδὴ ἐνάτη. Μὴ τῆς φθορᾶς διαπείρᾳ κυοφορήσασα

Μεγαλυνέσθω εὐφήμοις ᾠδαῖς ἡ πάναγνος,
μακαριζέσθω ἀξίως ἡ παμμακάριστος,
ὅτι νενέκρωται
καὶ ἐγήγερται πάλιν
ὡς μήτηρ τοῦ Κυρίου
εἰς πίστωσιν ἐσχάτης
ἀναστάσεως, ἣν ἐλπίζομεν.

Heirm. θ' EE 202, n. 286, Cosmae
167 ἠχεῖ D, V: συνηχεῖ Oi

159 Jno. 11: 25 **165-171** Tischendorf, Apocal. 109-110
179-180 Lu. 1: 46-48

Ἁμαρτημάτων τῷ κρύει καταπηγνύμενοι,
τοῖς πυρετοῖς ἀντιστρόφως διακαιόμεθα,
δάκρυσι σβέσωμεν
τὴν φλόγα τὴν ἐντεῦθεν
κἀκείνην τῆς γεέννης·
εἰ γὰρ καὶ μὴ ἐνταῦθα
ἀλλ' ἐκεῖσε πάντως θρηνήσομεν.

Ῥαθυμοτόκους μερίμνας, κενὰ σπουδάσματα
τῆς ἑαυτῶν διανοίας πόρρω βαλόμενοι,
πάντα καθάρωμεν
ὡς οἶκον ἐμπορίου
τὸν οἶκον τοῦ Κυρίου,
ἵνα ἐλθὼν εὑρήσῃ
μονὴν ἀξίαν σὺν πατρὶ ὁ Χριστός.

Κεκαθαρμένον τὸ ὄμμα τοῦ νοῦ κτησάμενοι,
οἱ θεωροὶ τῶν ἀῤῥήτων θεῖοι ἀπόστολοι
ἄνωθεν ἔβλεπον
τὸν δῆμον τῶν ἀγγέλων
σὺν τῷ δεσπότῃ πάντων
λαμπρῶς κατερχομένους
ἐν κοιμήσει τῆς θεομήτορος.

Ὁ διατείνας τῷ λόγῳ δέρριν οὐράνιον
καὶ ἐφ' ὑδάτων ἑδράσας τὴν γῆν ἀκλόνητον,
φύλαξον, Κύριε,

194 τῆς manu Me in D βαλόμενοι D: βαλλόμενοι V, Oi **199** post μονήν cetera verba manus posterior in D delevit et scripsit ἡ τριὰς ἡ ἀχώριστος
206 τῇ post ἐν add. V

189-190 Cfr. Ja. 3: 6 **196-197** Jno. 2: 16 **198-199** Jno. 14: 23
200-206 Tischendorf, Apocal., 103, 107 **207** Ps. 103: 2
208 Ps. 135: 6

www.tezaurliturgic.ro

τὴν πόλιν τὴν μεγάλην
F. 216v *τὴν νέαν ταύτην Ῥώμην*
εἰς πάντας τοὺς αἰῶνας
ἀπολιόρκητον τῆς μητρός σου εὐχαῖς.

Σοὶ πεποιθότες παντοίων δεινῶν λυτρούμεθα,
σὲ ἐν κινδύνοις προστάτην πλουτοῦμεν ἄμαχον,
δέσποινα, δέσποινα,
καὶ νῦν τῆς ὀλεθρίου
καὶ παραλόγου λύμης
λύτρωσαι τὸν λαόν σου,
τὸν ἀπαύστως σε μεγαλύνοντα.

*

210-213 Textus multitudine correctionum in D corruptus est, qua re restitui auctoritate cod. V **210** πόλιν D, V: ποίμνην Oi, post πόλιν add. τὴν σὴν Je in marg. D **211** συχνῶς κατακοπεῖσαν Je, τὴν ἐκκλησίαν ταύτην Oi
211-213 manus posterior delevit et in marg. inferiore D scripsit: ταύτην ἐν πίστει εὐσεβείας, ἐν δόγμασιν ἐνθέοις/ τῆς ἀειπαρθένου δεήσεσιν
213 τῆς D: ταῖς τῆς V, Oi **214-220** hoc troparium deest in Oi
216 verbum δέσποινα semel refert V

220 Lu. 1: 46

XXIIIh. Ἕτερος κανὼν ὄγδοος, οὗ ἡ ἀκροστιχίς·
Ἔσχατος ὕμνος τῇ πανυμνήτῳ γέρας Μάρκου.

F. 216v **Ὠδὴ πρώτη. Ἦχος πλάγιος δ'. Ἁρματηλάτην Φαραὼ ἐβύθισε**

Ἐκ τῶν περάτων θεαρχίῳ νεύματι
συναθροισθέντες εἰς ἓν
οἱ τοῦ Χριστοῦ μύσται,
οἱ πνευματορρήτορες,
χορείαν θεοκρότητον
συστησάμενοι ἅμα
τὴν θεομήτορα ᾄδουσι
μέλος λιγυρὸν ἐναρμόνιον·

«Συναπτικὴ τῶν διεστώτων ἕνωσις,
χαῖρε, θεόνυμφε,
χαῖρε, ζωῆς μῆτερ,
Ἅδου ἡ καθαίρεσις,
θανάτου ἡ ἀναίρεσις,
χαῖρε, λύσις τῆς λύπης·
ποῦ νῦν ἀπαίρεις, ὑπέρτιμε,
πόλις τοῦ Θεοῦ ἐπουράνιε;

Χαῖρε, κατάρας παλαιᾶς ἡ λύτρωσις
καὶ εὐλογίας πηγή,
χαῖρε, κτιστῆς πάσης
ἀνωτέρα φύσεως,
F. 217 *χαῖρε, Χριστοῦ παλάτιον,*
χαῖρε, πύρινε θρόνε,
χαῖρε, λυχνία πολύφωτε,
μὴ λίποις ἡμᾶς ἐποπτεύουσα.

Heirm. α' EE 219, n. πνευματορρήτορες e corr. : πνευματορήτορες ante corr. 314, Joannis **3** οἱ τοῦ Χριστοῦ D: οἱ Θεοῦ V, οἱ τοῦ Θεοῦ Oi **4** πνευματορρήτορες e corr. : πνευματορήτορες ante corr. in D **7** τὴν θεομήτορα D: τῇ θεομήτορι V, Oi

17 Ge. 3: 14-19 **21** III Ki. 7: 38-49 **22** Da. 7: 9
23 Ex. 38: 13-17

www.tezaurliturgic.ro

Ἅρμα τοῦ λόγου λογικὸν καὶ ἔμψυχον,
χαῖρε, πανάμωμε,
δαϋϊτικόν, χαῖρε,
ἅρμα πολυώνυμον,
ἅρμα μυριοπλάσιον,
χαῖρε, ἡ ἀσυγκρίτως
τῶν Χερουβὶμ ὑπερέχουσα
καὶ τῶν Σεραφὶμ ὑπερφέρουσα.»

Ὠδὴ τρίτη. *Ὁ στερεώσας κατ' ἀρχάς.*

Τὴν ἀδιόδευτον βροτοῖς
καὶ ἐπουράνιον πύλην,
τοῦ Θεοῦ τὴν φωτοφόρον καθέδραν,
τὴν λυχνίαν τὴν χρυσῆν,
τὸ ὄρος τὸ κατάσκιον,
τὴν θεοδόχον κλίνην,
τὴν Θεοτόκον ὑμνήσωμεν.

Ὁ εὐκλεὴς νυμφαγωγὸς
τῆς θείας οἰκονομίας
Γαβριὴλ ὁ ἀρχιστράτηγος πάλιν
οὐρανόθεν καταβάς,
τὸ «χαῖρε» σοι προσφθέγγεται·
«εὐλογημένη, χαῖρε,
πρὸς θείαν λῆξιν ἀπαίρουσα».

Σέ, τὴν καλὴν περιστερὰν
καὶ νύμφην ὄντως τελείαν
ὁ νυμφίος τῶν ψυχῶν ὁ ὡραῖος
ὑπεδέξατο χερσὶ
πρὸς οὐρανὸν ἀπαίρουσαν

Heirm. γ' EE 219, n. 314, Joannis
44 post χαῖρε et supra lineam σοὶ add. Me in D, verbum iam additum in V, Oi invenitur

29 Ps. 67: 17 **33-34** Ez. 44: 1-3 **36** Ex. 38: 13-17 **37** Hb. 3: 3 **38** Ca. 3: 7 **40-46** Tischendorf, Apocal., 96; Lu. 1: 28 **47** Ca. 2: 10-13 **48-49** Ca. 1: 8 **50-51** Tischendorf, Apocal., 109, 135

καὶ πρὸς τὰς αἰωνίους
μονὰς ἐσκήνωσε χαίρουσαν.

Ὕμνοις ἐξ ὕμνων οἱ σεπτοὶ
τῶν οὐρανίων ταγμάτων
ἀρχηγοὶ τὴν τοῦ Κυρίου μητέρα
παραπέμπουσι φαιδρῶς,
ἕως ἐκεῖ κατέπαυσεν,
ὅπου ὁ θεῖος θρόνος
καὶ ἡ τριὰς ἡ ὑπέρθεος.

F. 217v **Ὠδὴ τετάρτη. Σύ μου, Χριστέ,**

Μόνη ἐν σοὶ
φύσεως νόμοι ἐλύθησαν,
μόνη τίκτεις
βρέφος θεῖον ἄσπορον
τὸν πρὸ αἰώνων ἐκ τοῦ πατρὸς
ὑπὲρ νοῦν καὶ λόγον
ἐξανατείλαντα, πάναγνε·
ἡ ῥάβδος γὰρ ἐτύπου
τὴν σεπτήν σου γαστέρα
παραδόξως ἐκφύσασα κάρυα.

Νέκταρ ἡμῖν
τῆς εὐσπλαγχνίας ἐπήγασας
οἷα κρήνη
ῥεῖθρον γλυκὺ βλύζουσα
καὶ καθαρὰ νάουσα πηγὴ
νάμα ζωηφόρον
καὶ ὕδωρ πότιμον βρύουσα·
διὸ τοὺς φλεγομένους
πυρετῶν ἐν καμίνῳ
τῇ σῇ δρόσῳ, παρθένε, θεράπευσον.

Heirm. δ' EE 219, n. 314, Joannis Alium heirm., qui ineditus videtur, tradit V Σύ μου, ἰσχύς, Κύριε **76** τὸ post νάμα add. V

53 Cfr. Jno. 14: 2 **54-58** Tischendorf, Apocal., 111-112 **70** Nu. 17: 23

www.tezaurliturgic.ro

Οἱ ἀπηνεῖς
καὶ αἱμοβόροι καὶ δόλιοι,
τῆς δουλίδος Ἄγαρ οἱ ἀπόγονοι
στρατὸν ἐλάσαντες παμπληθῆ
καὶ προσκαθεσθέντες
τῇ πόλει σου ταύτῃ, δέσποινα,
ὡς νήπιοι παθόντες
τὸ ἀπρόσμαχον ἔγνων
τῆς φρουρούσης αὐτὴν σου δυνάμεως.

Σύ, τῶν βροτῶν
δόξα καὶ κλέος καὶ καύχημα
καὶ ἀγγέλων στέφος καὶ διάδημα·
διὸ ἡ γῆ καὶ ὁ οὐρανὸς
μίαν ἐκκλησίαν
στησάμενοι, παναρμόνιον
τὸ «χαῖρε» σοι βοῶμεν,
«χαῖρε, δέσποινα κόσμου,
χαῖρε, πάντων ἀνθρώπων βοήθεια.»

Ὠδὴ πέμπτη. Ἵνα τί με ἀπώσῃ

Τὴν τὸν λόγον τεκοῦσαν
οἱ τοῦ λόγου τρόφιμοι λόγοις γεραίρομεν,
τὴν τοῦ κόσμου σκέπην
F. 218 οἱ τοῦ κόσμου κοσμοῦμεν οἰκήτορες,
τὴν τῶν εὐσεβούντων προφυλακὴν οἱ εὐσεβοῦντες
εὐσεβεῖ λογισμῷ μεγαλύνομεν.

Ἡ τοῦ κόσμου κυρία
πρὸς τὴν ὑπερκόσμιον ζωὴν μεθίσταται,
ὁ ναὸς ὁ θεῖος
πρὸς ναὸν ἐπουράνιον αἴρεται,

Heirm. ε′ EE 219, n. 314, Joannis
86 πόλει D, V: ποίμνῃ Oi **98** ἀνθρώπων D, V: ἐλπὶς καὶ βοήθεια Oi

107 Cfr. Ps. 64: 4

ἡ χρυσῆ λυχνία, ἡ κιβωτὸς τῆς διαθήκης
ἐν ἁγίων ἁγίοις οἰκίζεται.

Παρρησίαν μεγάλην
πρὸς τὸν ἐκ λαγόνων σου τεχθέντα Κύριον
κεκτημένη, κόρη,
ὅσα θέλεις ἀνύεις ἑκάστοτε
καὶ ἰσχύεις πάντα, παντοδυνάμου Θεοῦ μῆτερ·
διὸ θέλησον μόνον καὶ σώσεις ἡμᾶς.

Ἀδιόδευτε πύλη,
χαῖρε, ἣν διώδευσε Χριστὸς ὁ Κύριος,
παραδείσου πύλας
ἡ ἀνοίξασα, χαῖρε, τῷ τόκῳ σου,
χαῖρε, δι' ἧς χαίρει ὁ οὐρανὸς καὶ γῆ χορεύει,
ἡ τὰ κάτω τοῖς ἄνω συνάψασα.

Ὠδὴ ἕκτη. Ἄβυσσος ἁμαρτιῶν

Νέκρωσιν ἡ τῆς ζωῆς
μήτηρ δέχεται καὶ τάφῳ τεθεῖσα
μετὰ τριττὴν ἡμέραν
εὐκλεῶς ἐξανίσταται,
εἰς αἰῶνας τῷ υἱῷ
συμβασιλεύουσα καὶ αἰτοῦσα
τὴν τῶν πταισμάτων ἡμῖν ἄφεσιν.

Ὕψωσας τὴν ταπεινὴν
καὶ τὴν ἄτιμον ἐτίμησας φύσιν,
τὸν ὑψηλὸν ἐν δόξῃ
καὶ τιμῇ τῆς θεότητος
ἐπὶ γῆς ὡς ταπεινὸν
ἄνθρωπον δείξασα τοῖς ἀνθρώποις,
θεοκυῆτορ ἀειπάρθενε.

Heirm. ς′ EE 222, n. 318, Joannis

109 λυχνία Ex. 38: 13-17 κιβωτὸς Ex. 38: 1-8 **110** Cfr. Nu. 4: 19
117 Ez. 44: 1-3 **124-127** Tischendorf, Apocal. 111

www.tezaurliturgic.ro

F. 218v

Μόνην σε μετὰ Θεὸν
προστασίαν ἐν κινδύνοις πλουτοῦμεν
καὶ κοινωνὸν φροντίδων
καὶ καμάτων ἀνάπαυλαν
καὶ μεσίτιν εὐμενῆ
πρὸς τὸν δυνάμενον μόνον σώζειν
οἱ σοὶ πολῖται, παμμακάριστε.

Νέαν σε προβατικὴν
κολυμβήθραν ὁ δεσπότης παρέσχεν,
οὐ καταβάσει δούλου
τὰ ἰάματα βρύουσαν,
ἀλλ᾽ αὐτοῦ τοῦ παντουργοῦ
πνεύματος χάριτι καὶ δυνάμει
θαυματουργοῦσαν, θεονύμφευτε.

Ὠδὴ ἑβδόμη. Θεοῦ συγκατάβασιν

Ἡ πάντων δεσπόζουσα
τῶν ποιημάτων, τοῖς βασιλεῦσιν ἡμῶν
τὰ τῆς νίκης παράσχου
κατὰ ἀθέων βαρβάρων τρόπαια
καὶ τὴν σὴν πόλιν
φύλαξον ἀλώβητον
ἐπιδρομαῖς ἐθνικαῖς καὶ θεηλάτοις πληγαῖς.

Τὴν μόνην ἀπείρανδρον
καὶ μετὰ τόκον παρθένον μείνασαν,
τοῦ Θεοῦ τὴν μητέρα,
τῶν ἐπιγείων τὸ σεμνολόγημα,
τῶν οὐρανίων
ἀγγέλων τὸ καύχημα
πνευματικαῖς οἱ πιστοὶ δοξολογοῦμεν ᾠδαῖς.

Heirm. ζ′ EE 219, n. 314, Joannis
155 πόλιν D, V: ποίμνην Oi

144-147 Jno. 5: 2-6

Ὡς κρῖνον ἡδύπνοον
ἐν ταῖς κοιλάσι τοῦ βίου εὕρατο
καὶ ὡς ῥόδον εὐῶδες
ἐξ ἀκανθῶν σε Θεὸς ἐξείλετο
καὶ ἐρασθείς σου
τοῦ κάλλους, ἐσκήνωσεν
ἐν τῇ ἁγίᾳ νηδύι σου, μητρόθεε.

Γηράσασαν, δέσποινα,
καὶ σαθρωθεῖσαν πολλοῖς παθήμασι,
τῶν ἀνθρώπων τὴν φύσιν
ἐπὶ τὸ κρεῖττον αὖθις ἐκαίνισας·
δημιουργὸν γὰρ
καὶ κτίστην ἐγέννησας
καὶ νεουργὸν τὸν αὐτὸν ἀριστοτέχνην Θεόν.

F. 219

Ὠδὴ ὀγδόη. Ἐπταπλασίως κάμινον

Ἐν προσευχαῖς, πανάμωμε,
καὶ νηστείαις σχολάζουσα
ταύτας τὰς ἡμέρας ἐξεδέχου, χαίρουσα
τὴν θείαν ἀνάλυσιν,
τὴν ἀπὸ γῆς μετάστασιν,
τὴν εἰς οὐρανοὺς πανευκλεῆ ἐκδημίαν·
διό σοι καὶ οἱ δοῦλοι
συννηστεύομεν πάντες
καὶ συνδοξολογοῦμεν
τὸν μεγαλύναντά σε.

Ῥῦσαι λιμοῦ καὶ στάσεως
καὶ μαχαίρας τὴν πόλιν σου,
λύμης ὀλεθρίου καὶ παντὸς νοσήματος,
ἐθνῶν ἐπελεύσεως,
σεισμοῦ, πυρός, ποντώσεως,

Heirm. η′ EE 219, n. 314, Joannis
166 ταῖς om. V **168** post σε et supra lineam Θεός add. Me in D
190 πόλιν D, V: ποίμνην Oi

165-166 Ca. 2: 1 **169-170** Wi. 8: 2

www.tezaurliturgic.ro

αὐχμοῦ καὶ χαλάζης καὶ πληγῆς πάσης ἄλλης,
Μαρία Θεοτόκε·
ἐπὶ σοὶ γὰρ ἐλπίζει
καὶ πρὸς σὲ καταφεύγει
καὶ σὲ ἐπικαλεῖται.

Ἁμαρτωλῶν προσφύγιον,
ταπεινῶν ἱλαστήριον,
καταπονουμένων ταχεινὴ βοήθεια,
πιπτόντων ἀνόρθωσις
καὶ εὐδρομούντων σύνδρομος,
γήρως βακτηρία καὶ τυφλῶν ὁδηγία
ὑπάρχεις, Θεοτόκε
ὑπερευλογημένη,
ὑπερδεδοξασμένη
καὶ κεχαριτωμένη.

Σὲ τὴν κοινὴν βοήθειαν
βασιλεῖς τε καὶ ἄρχοντες,
ἱερεῖς, λαὸς καὶ μοναζόντων τάγματα
πιστῶς λιτανεύομεν·
εἰρηνικὴν καὶ ἄλυπον
δώρησαι ἡμῖν τὴν ἐπὶ γῆς παροικίαν
καὶ δόξης ἀϊδίου
καὶ ζωῆς τῆς μενούσης
καταξίωσον πάντας
τῷ μέλλοντι αἰῶνι.

F. 219[v] ***Ὠδὴ ἑνάτη. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός***

Μηδεὶς ἀπολειφθήτω τῆς ἱερᾶς
τῆς δεσποίνης ἡμῶν πανηγύρεως·
πάντες ὁμοῦ
δράμωμεν θεάσασθαι νοητῶς
τὸ ὑπὲρ νοῦν μυστήριον

Heirm. θ′ EE 220, n. 314, Joannis

ψυχὴν γυναικείαν εἰς οὐρανοὺς
χερσὶ κομιζομένην
Θεοῦ παντοδυνάμου,
δήμους ἀγγέλων παραπέμποντας.

Ἀγγέλων, ἀρχαγγέλων παρεμβολαί,
Χερουβίμ, Σεραφίμ, κυριότητες,
θρόνοι, ἀρχαί,
δυνάμεις, ἐξουσίαι πανευκλεεῖς
σὺν ἀποστόλοις ᾄδουσιν
ὕμνον τὸν ἐξόδιον τῇ μητρὶ
τοῦ πάντων βασιλέως,
λαμπρῶς διερχομένῃ
ἕως τοῦ οἴκου τοῦ Θεοῦ ἡμῶν.

Ῥυεῖσαι τῶν ἀφθόνων σου δωρεῶν
αἱ πλημμύραι τὴν κτίσιν κατέκλυσαν
ὡς ἐκ πηγῆς
ἄλλης τετραστόμου τῆς ἐν Ἐδέμ,
τοῦ σοῦ τεμένους βρύουσαι
καὶ τὴν τετραπέρατον κυκλικῶς
ἀρδεύουσαι πλουσίως·
διὸ καρποὺς σοι φέρει
εὐχαριστίας, θεόνυμφευτε.

Κοσμοῦσι βασιλεῖς καὶ δυνάσται γῆς
τὴν εἰκόνα τὴν σήν, θεοκόσμητε,
καὶ τὸν ναὸν
ἐθνῶν μεγιστάνες, λαοί, φυλαὶ
πιστῶς δωροφοροῦσι σοι
λιθομαργαρόχρυσα ἱερὰ
κειμήλια καὶ σκεύη·
μεγάλη σου ἡ δόξα
ἐν οὐρανῷ καὶ γῇ, θεόνυμφε.

227 δ′ post δήμους add. Oi

228-236 Tischendorf, Apocal. 109 **239-242** Cfr. Ge. 2: 10-14

www.tezaurliturgic.ro

F. 220

Ὁ θρόνος τοῦ δεσπότου ὁ ὑψηλός,
ἡ καθέδρα Χριστοῦ ἡ περίδοξος,
ὁ εὐαγὴς
θάλαμος, τὸ πάγχρυσον ἱερόν,
τὸ θεοδόχον τέμενος
ἡ παντοβασίλισσα Μαριὰμ
ἐφέστηκεν ἐνδόξως
τῷ ἑαυτῆς τεμένει·
πάντες αὐτὴν ἀνευφημήσωμεν.

Ὑμνοῦντας σε προσδέχου, μῆτερ Θεοῦ,
οὓς ἐνταῦθα συνήγαγες δούλους σου
καὶ συμπαθῶς
τρέφεις, περιέπεις, ψυχαγωγεῖς,
διατηρεῖς ἀπήμονας·
ἀλλὰ καὶ μενούσης παρὰ Θεῷ
ζωῆς καὶ εὐφροσύνης
καὶ δόξης ἀϊδίου
πάντας ἀξίωσον ὑμνοῦντας σε.

*

* *

ΠΑΡΑΡΤΗΜΑ Α΄

255-263, 264-272 haec troparia desunt in Oi